Βούτης: οὗτος ἔσχε τὴν ἱερωσύνην· καὶ ἀπὸ τούτου Βουτάδαι καὶ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ Βούτου· τὸ γὰρ ἐτεὸν ἀληθές. Ὅμηρος "εἰ ἐτεόν σός εἰμι."

Βουφόνια: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου. ἑορτή τις ἐστὶ παρ' Ἀθηναίοις.

2. τις ἐγγεγραμμένος αὐτὸς om. 3. γεγραφότι. καὶ Ἰσαῖος μὲν ἐπὶ Παλλαδίῳ λέγει εἰσάγεσθαι τῶν β (δύο Suidas) τὸ πρῶτον ἔγκλημα, ὡσαύτως καὶ Ἀριστοτέλης (ὡσαύτως καὶ Ἀ. om. D.), Δείναρχος δὲ ἐν Ἀρείῳ πάγῳ. περὶ δὲ τοῦ—πρώτῳ λέγει. ὁ μέντοι Ὑπερίδης ἰδίως τὸ τῆς βουλεύσεως ὄνομα ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα λαμβάνει:— 10. δῆμός ἐστι τῆς Οἰνηΐδος Βουτία, ἀφ' ἧς Βουτάδαι οἱ δημόται:— 12. τὴν (τὴν om. D.) ἱερωσύνην ἔσχεν καὶ οἱ ἀπ' αὐτοῦ Βουτάδαι ἐκλήθησαν. καλοῦνται δὲ (δὲ καὶ Suidæ codex Paris. A.) Ἐτεοβουτάδαι—τὸ γὰρ ἐτεὸν ἀληθὲς (τὸ ἀληθὲς Suidæ cod. Bruxell.) δηλοῖ:— 15. ΒΟΥΦΟΝΙΑ. ἑορτή τις παρὰ Ἀθηναίοις τὰ (τὰ om. D.) βουφόνια:— (Explicatius Suidas duabus in glossis aliunde sumtis.)

1. ἐπιβουλευθεὶς] ἐπιβουλευτὴς L.
3. ἐγγεγραφότι] γεγραφότι B. C. cum Epitome.
— οὖν om. B.C.G.
— μάρτυς Ἰσαῖος] Idem tradunt Harpocratio s. v. ἐπὶ Παλλαδίῳ et schol. Æschinis 2, § 87. eamque sententiam defendit P. G. Forchhammer de Areopago p. 30 sq. Sed cum et is, qui cædem præmeditatus est (φόνος ἐκ προνοίας) et qui invitus aliquem interfecit (ἀκούσιος φόνος) ab alio instigatus vel monitus esse possit, ut faceret id quod fecit, videtur prius illud genus βουλεύσεως in Areopago, alterum ad Palladium judicatum esse. SAUPP. ad Fragm. p. 235.
5. πάγῳ C.
7. Δημοσθένης] p. 778.
8. εἰς] εἰς τὰ A. Ald.
9. κέχρηται] ἐκέχρητο B.
12. καὶ ἀπὸ codices. καὶ οἱ ἀπὸ Ald., quod legit Epitomator.
13. οἱ ἀπόγονοι] Fortasse scribendum οἱ ἀληθῶς ἀπόγονοι. Conf. s. v. Ἐτεοβουτάδαι.
— τοῦ Βούτου] τούτου B.C.G.
— Ὅμηρος] Od. 9, 529.
14. σός] ἔτι σός A. Ald. γε σός ap. Homer.
15. ἐστι om. B.C.

Βούχετα : Δημοσθένης ἐν Φιλιππικῶν ζ. πόλις ἐστὶ τῆς Ἠπείρου, πληθυντικῶς οὐδετέρως λεγομένη, ἣν Φιλοστέφανος ἐν τοῖς Ἠπειρωτικοῖς ὠνομάσθαι φησὶ διὰ τὸ τὴν Θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐκεῖσε ἐλθεῖν κατὰ τὸν Δευκαλίωνος κατακλυσμόν.

Βοώνης : Δημοσθένης ἐν τῷ κατὰ Μειδίου ὅτι λαμπρὸς ἦν ὁ βοώνης καὶ αἱ μέγισται ἀρχαὶ ἐπὶ τούτῳ ἐχειροτονοῦντο.

Βρυτίδαι : ὄνομα γένους Ἀττικοῦ· Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Βωμολοχεύεσθαι : κυρίως ἐλέγοντο βωμολόχοι οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες καὶ μετὰ κολακείας προσαιτοῦντες, ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταί τε καὶ μάντεις. Φερεκράτης Τυραννίδι

> κἄπειθ' ἵνα μὴ πρὸς τοῖσι βωμοῖς πανταχοῦ
> ἀεὶ λοχῶντες βωμολόχοι καλώμεθα,
> ἐποίησεν ὁ Ζεὺς καπνοδόκην μεγάλην πάνυ.

ἐκ μεταφορᾶς δὲ τούτων ἐλέγοντο βωμολόχοι εὔκολοί τινες ἄνθρωποι καὶ ταπεινοὶ καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει διὰ τοῦ παίζειν τε καὶ σκώπτειν. Ἀριστοφάνης Γηρυτάδῃ

> χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει.

1. Δ.—ζ. om. 2. οὐδετέρως καὶ πληθυντικῶς ἣν φησι Φιλόχορος (φιλόχωρος E.T.) ὠνομάσθαι διὰ 4. ἐλθεῖν ἐκεῖ (ἐκεῖσε D.) 5. ΒΟΩ'ΤΗΣ. αἱ μέγισται ἀρχαὶ παρὰ Ἀθηναίοις ἀπὸ τούτων ἐχειροτονοῦντο :— 7. Ἀττικοῦ :— 9. βωμολόχοι κυρίως ἐλέγοντο 10. καθίζοντες] καθεζόμενοι D. 11. αὐληταί (αὐλιταὶ E.T.) καὶ μάντεις. ἐκ μεταφορᾶς 16. καί τινες εὔκολοι καὶ ταπεινοὶ ἄνθρωποι 17. τοῦ] τοῦτο D. 18. σκώπτειν, ὥστε τοὔνομα τρία σημαίνει :—

1. ΒΟΥ'ΧΕΤΑ] βουχέτα A. B. L.N.

— Δημοσθένης] p. 84, 23. Δ. ἐν Φιλιππικῶν (φιλιππικῷ B. L. N.) ζ' om. C., solum ζ om. B.L.

2. Φιλοστέφανος] φιλόχορος Ald. cum Epitome et Etym. M. p. 210.

— Ἠπειρωτικοῖς] φιλιππικοῖς B.C.

3. ἐκεῖσε ἐλθεῖν] ἐλθεῖν ἐκεῖσε Ald.

4. τὸν] τὸν ἐπὶ L.

5. et 6. ΒΟΩ'ΝΗΣ Maussacus. Libri βοώτης cum Epitome.

— Δημοσθένης] p. 570, 7.

6. τούτῳ] τοῦτο Bekkerus.

7. ΒΡΥΤΙ'ΔΑΙ—Νεαίρας om. C.

— ΒΡΥΤΙ'ΔΑΙ restitui ex Epitome codicibusque Demosthenis p. 1365, 8. (ubi editiones veteres Βρυτιάδας). Legebatur Βρυτάδαι, nisi quod βρυττάδαι B.

11. ταῖς] ἐν ταῖς L.

— τε om. N.

13. κἄπειθ'] Libri καὶ ἔπειτα.

— πρὸς τοῖσι (sic Maussacus pro τοῖς) βωμοῖς om. C.

— βωμοῖς] ναοῖς B.G.

16. τούτων ex Epitome pro τούτου.

17. τοῦ] τοῦτο A.

19. χαριεντίζει — βωμολοχεύει] Scribebatur χαριεντίζῃ — βωμολο-

Γ.

Γαληψός: Ἀντιφῶν κατὰ Λαισποδίου. πόλις Θρᾴκης, ὡς οἱ τὰς περιόδους γεγραφότες φασίν. ὠνομάσθη δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάσου καὶ Τηλέφης, ὡς Μαρσύας ὁ νεώτερος ἐν πέμπτῳ Μακεδονικῶν.

Γαμηλία: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει καὶ Ἰσαῖος. καὶ Δίδυμος ὁ γραμματικὸς ἐν μὲν τοῖς Ἰσαίου ὑπομνήμασί φησιν εἶναι γαμηλίαν τὴν τοῖς φράτορσιν ἐπὶ γάμοις διδομένην, παρατιθέμενος λέξιν Φανοδήμου, ἐν ᾗ οὐδὲν τοιοῦτον γέγραπται. ἐν δὲ τοῖς εἰς Δημοσθένην ὁ αὐτὸς πάλιν γαμηλίαν φησὶν εἶναι τὴν εἰς τοὺς φράτορας εἰσαγωγὴν τῶν γυναικῶν, οὐδεμίαν ἀπόδειξιν τῆς ἐξηγήσεως παραθέμενος.

Γάνος καὶ Γανιάδα: Αἰσχίνης κατὰ Κτησιφῶντος. χωρία ἐστὶ Θρᾳκικά, ὡς Ἀρτεμίδωρος.

2. ΓΑ'ΛΗΨΟΣ. (Γαλιψός. ὄνομα κύριον Suidas, duobus tamen codicibus Γάληψος præbentibus). πόλις ἐστὶν (ἔστι δὲ πόλις Suidas) τῆς Θρᾴκης (ἐστὶ θράκης D.) ὡς οἱ—φασίν habet D., om. E.T. et Suidas. 3. ὠνομάσθη δὲ ἀπὸ Γαλήψου (codices Suidæ γαλίψου vel γαλήψου) τοῦ ἐκ (ἐκ om. solus D.) Θάσου (θάψου E.T., non Suidas et Etym. M. p. 219, 46.) καὶ Τηλέφης, ὡς Μαρσύας ἐν πέμπτῳ (ἐνπέμπο D.) Μακεδονικῶν:— Verba ὡς Μαρσύας — Μακεδονικῶν solus servavit D., omissa in E. T. et Suida.) 5. ΓΑΜΗΛΙ'Α. ἡ διδομένη τοῖς φράτορσιν ἐπὶ γάμοις. ἢ τῶν γυναικῶν ἡ εἰς τοὺς φράτορας εἰσαγωγή. οὕτω Δίδυμος ὁ γραμματικός:— 12. ΓΑ'ΝΟΣ καὶ ΓΑΝΙΑ'ΔΑ (γάνιδα Suidæ codex Leid.). χωρία ἐστι Θρᾳκικά:—

χεύῃ. Apud alios grammaticos, quos indicavi ad Aristoph. Fragm. 212, est χαριεντίζεις—βωμολοχεύει.

P. 76, 19. βωμολοχεύει] βωμολοχεύεις C.

P. 77, 2. ΓΑΛΗΨΟ'Σ—Γαληψοῦ] Scribebatur Γάληψος et Γαλήψου contra regulam ab Steph. Byz. s.v. Γαληψός expositam, quacum conf. Arcad. p. 85, 12. Γαλιψὸς—γαλίψου Ald. Recto accentu scriptum in C. et rec. N. et, ubi Γαληψός—Γαλήψου Etym. M. p. 219, 45. Duplici vitio Γάψηλος in libris Thucydidis 4, 107. Accurate de hac urbe dixit Boeckh. Œcon. vol. 2. p. 677.

— ὡς οἱ—φασίν addidi ex Epitomes codice D. Similiter Harpocratio s. v. Πύρρα.

3. ἀπὸ] ἀπὸ τοῦ B.

4. ἐν πέμπτῳ Μακεδονικῶν addidi ex D.

5. ΓΑΜΗΛΙ'Α] γαμήλια A.B.L. Ald. Suidæque codex Leid. cum Zonara p. 422.

— Δημοσθένης] p. 1312, 12. 1320, 13.

— ἐν τῇ] ἐν τῷ B.

— Ἰσαῖος] p. 45, 33. ubi aliorum grammaticorum locos de γαμηλίᾳ attulit Schœmann. p. 263.

7. γαμηλίαν τὴν D. τὴν γαμηλίαν A.B.C.L. Ald.

— παραθέμενος Maussacus. περιθέμενος A.N. Ald. περιτιθέμενος B.L.

12. ΓΑ'ΝΟΣ] θηλυκῶς add. Ald., om. codices.

— ΓΑΝΙΑ'ΔΑ] γανιάδας B. γανιά-

Γεισίπουσ καὶ Γεισιπόδισμα καὶ Γεισιποδίζειν: τὸ ἐξέχον τῆς δοκοῦ, ἐφ' οὗ τὸ γεῖσόν ἐστι, γεισίπους καλεῖται καὶ γεισιπόδισμα, καὶ γεισιποδίζειν τὸ τοῦτο ποιεῖν· Ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας.

Γεννῆται: οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. διῃρημένων γὰρ ἁπάντων τῶν πολιτῶν κατὰ μέρη, τὰ μὲν πρῶτα καὶ μέγιστα μέρη ἐκαλοῦντο φυλαί, ἑκάστη δὲ φυλὴ τριχῇ διῄρητο, καὶ ἐκαλεῖτο ἕκαστον μέρος τούτων τριττὺς καὶ φρατρία. πάλιν δὲ τῶν φρατριῶν ἑκάστη διῄρητο εἰς γένη λ', ἐξ ὧν αἱ ἱερωσύναι αἱ ἑκάστοις προσήκουσαι ἐκληροῦντο. ἔστι δὲ παρὰ πολλοῖς τῶν ῥητόρων τοὔνομα, ὡς καὶ Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Ἰσαῖος δ' ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου τοὺς συγγενεῖς γεννήτας ὠνόμασεν· οὐχ οἱ συγγενεῖς μέντοι ἁπλῶς καὶ οἱ ἐξ αἵματος γεννῆταί τε καὶ ἐκ

3. *γεισιποδίζειν δὲ τὸ ποιεῖν τοῦτο* :— omisso quod præcedit *καί*. 5. *διῃρημένων—φρατρία*] *καὶ γὰρ διῄρηντο* (*διήρουντο*, hoc accentu, T.) *κατὰ μέρη οἱ τῶν Ἀθηναίων πολῖται, καὶ τὰ μὲν μέγιστα μέρη φυλαὶ ὠνομάζοντο, ἑκάστη δὲ φυλὴ πάλιν εἰς τρία διῄρητο, ὧν ἕκαστον μέρος τριττὺς καὶ φατρία ὠνομάζετο.* 9. *εἰς γένη διήρητο* *ἱερωσύναι αἱ*] *αἱ* om. Suidas. 10 *ἔστι —γεννήτας καλοῦσιν*] *καὶ γεννῆται οἱ ἐκ τοῦ αὐτοῦ καὶ α γένους τῶν λ γενῶν, οὓς καὶ πρότερόν φησιν Φιλόχορος* (*φιλόχωρος* D.E.T.) *ὁμογάλακτας* (*ὁμογαλάκτας* T.) *καλεῖσθαι. Ἰσαῖος μέντοι τοὺς γεννήτας ἁπλῶς τοὺς ἐξ αἵματος συγγενεῖς ὀνομάζει* :—

δους C. Apud Æschinem p. 65, 24. est *Γανίδα*, et recte fortasse.

P. 77, 12. *κατὰ*] *ἐν τῷ κατὰ* B.C.

P. 78, 1. ΓΕΙΣΙΠΟΥΣ et reliqua vulgo duplici *σ* scripta correxi ex Epitome. *γεισήπους* et *γεισηπόδισμα* scriptum in titulo de munimentis Athenarum ap. Mueller. in comment. p. 49.

— *ἐξέχον*] *ἔξοχον* A.

2. *τῆς*] *τοῦ* C.L.

— *ἐστι*] *ἐστι τοῦτο* B.

3. *ὀργεῶνας*] *ὀργεῶνα* A. Ald. *ὀργεῶν ν̄* B. *ὀργεῶν τρίτῳ* C.

5. ΓΕΝΝΗΤΑΙ] *γεννηταὶ* A.B.L. Ald. *γενηταὶ* N. *ἄλλοι γεννῆται γράφουσι* margo N.

6. *μέγιστα*] *μεριστὰ* B.C.G. *μάλιστα* Ald.

8. *φρατρία — φρατριῶν*] *φατρία* (unus alterque codex *φατριά*)— *φατριῶν* A.B.C.L. Ald.

9. *αἱ* post *ἱερωσύναι* om. A. Ald.

11. *Δημοσθένης*] p. 1319, 27.

—*Ἰσαῖος*] *γεννῆται* p. 64, 35. 65, 2. 66, 7. 68, 4; *συγγενεῖς* p. 63, 3. 66, 13.

— *δ'* additum ex A.L.

12. *τοὺς συγγενεῖς γεννήτας*] *ξυγγενεῖς τοὺς γενητὰς* N. *συγγενεῖς τοὺς γεννήτας* Schœmann. ad Isæum p. 356. Idem vulgatæ scripturæ sensus; vide exempla similia hujus verborum collocationis quæ attuli ad Demosth. p. 630, 28. vol. 6. p. 902.

—*συγγενεῖς*] *ξυγγενεῖς* A.B.C.L.N.

— *γεννήτας—γεννῆται*] *γεννητὰς— γεννηταὶ* Ald. eodemque accentu, sed simplici *ν* B.

13. *γεννῆται* om. N.

— *τε* om. B.C.N.

— *ἐκ* om. L. *οἱ ἐκ* Ald.

τοῦ αὐτοῦ γένους ἐκαλοῦντο, ἀλλ' οἱ ἐξ ἀρχῆς εἰς τὰ καλούμενα γένη κατανεμηθέντες. Φιλόχορος δ' ἐν τῇ δ' φησὶ πρότερον ὁμογάλακτας ὀνομάζεσθαι οὓς νῦν γεννήτας καλοῦσιν.

Γεραραί: αἱ τῷ Διονύσῳ ἱερωμέναι γυναῖκες· Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Γεράνεια: Λυσίας ἐπιταφίῳ. ἔστι δὲ ὄρος Μεγαρίδος, ὡς Διευχίδας.

Γέρρα: Δημοσθένης ὑπὲρ Κτησιφῶντος "τούς τε ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον καὶ τὰ γέρρα ἐνεπίμπρασαν." Περσικὰ μέν τινα ὅπλα τὰ γέρρα ἐστὶ, καθὰ καὶ Ἡρόδοτός φησιν· ἤδη δὲ καταχρηστικῶς καὶ ἅπαν σκέπασμα, εἴτε δερμάτινον εἴη εἴτε ἄλλης τινὸς ὕλης, γέρρον ἐλέγετο. νῦν γοῦν τὰ τῶν σκηνῶν σκεπάσματα καὶ παρακαλύμματα ἐμπίπρασθαί φησιν ὁ Δημοσθένης ὑπὲρ τοῦ μὴ συνεστάναι περὶ τὰ ὤνια ἐπὶ τῆς ἀγορᾶς μηδὲ πρὸς ἄλλοις τισὶ τὰς διατριβὰς ἔχειν. ἐν δὲ τῷ κατὰ Νεαίρας, εἰ γνήσιος ὁ λόγος, φησὶν οὕτω· "τοὺς δὲ πρυτάνεις κελεύει τιθέναι τοὺς καδίσκους ὁ νόμος καὶ τὴν ψῆφον διδόναι προσιόντι τῷ δήμῳ, πρὶν τοὺς ξένους εἰσιέναι καὶ τὰ γέρρα ἀναιρεῖν." ἤτοι οὖν ταὐτόν ἐστι τῷ ὑπὲρ Κτησιφῶντος, ἢ τοιοῦτό τι ὑποληπτέον ὡς παρὰ τοῖς ἐκκλησιάζουσι πολίταις ἡ ψῆφος ὑπὸ τῶν πρυτάνεων ἐδίδοτο πρὶν εἰσιέναι τοὺς ξένους καὶ πρὶν ἀναιρεθῆναι τὰ περιφράγματα,

4. ΓΕΡΑΙΑΙ'—*γυναῖκες*:— Totam gl. om. Suidas. 5. ΓΕΡΑΝΙ'Α. *ὄρος τῆς Μεγαρίδος*:— 8. ΓΕ'ΡΡΑ. *Περσικὰ μέν ἐστιν ὅπλα κυρίως τὰ γέρρα, καταχρηστικῶς δὲ καὶ ἅπαν σκ. εἴτε δερμάτινον εἴτε* (*ἤτε δερμάτινον ἤτε* E.T., non D.) — *ἐλέγετο. διὸ καὶ Δημοσθένης τὰ τῶν σκ. σκ. καὶ παραπ. ἐν τῷ ὑπὲρ Κτ. γέρρα καλῶν ἐμπίπρασθαι λέγει. λέγοιτο δ' ἂν ὁμοίως γέρρα καὶ τὰ μὲν* (*μὲν* om. D.) *τῶν σκηνῶν περιφράγματα*:—

1. *ἐκαλοῦντο* om. N.
2. *ὁμογάλακτας*] *ὁμογαλάκτους* N.
4. ΓΕΡΑΡΑΙ' N. Ceteri et margo N. *γεραιαί*. Apud Demosthenem p. 1369, 29. 1371, 17. 1372, 1. libri variant inter *γεραιράς* (nonnulli *γεραίρας*) et *γεραράς*. de quo vide quæ dixi in annot. ad Demosthenem vol. 7. p. 1379. et in Thesauro Stephani.
6. ΓΕΡΑ'ΝΕΙΑ B. ut scriptum apud Lysiam p. 195, 20. *γερανεία* A. C. L. N. Scribebatur *Γερανία* cum Ald.
6. *ἐπιταφίῳ*] *ἐν ἐπιταφίῳ* C.
— *Διευχίδας*] *εὐτυχίδας* L.
8. *Δημοσθένης*] p. 284, 24.
— *ὑπὲρ*] *ἐν τῷ ὑπὲρ* B.C.
— *ἐκ* om. B.
9. *ἐνεπίμπρασαν*] *ἀνεπίμπρασαν* A. Ald. *ἐπίμπρασαν* B.C.
10. *ἐστι* om. C.
— *Ἡρόδοτος*] 7, 61.
12. *γοῦν*] *οὖν* B.C.
13. *καὶ παρακαλύμματα* om. C.
15. *κατὰ Νεαίρας*] p. 1375, 19.

τουτέστι πρὶν ἀναπετασθῆναι τὴν ἐκκλησίαν παντὶ τῷ εἰπεῖν βουλομένῳ.

Γεωφάνιον: χωρίον ἐν ᾧ γῆς μέταλλον. περὶ δὲ τοῦ ἐν Σάμῳ γεωφανίου ὃν τρόπον ἐξευρέθη Ἔφορος δεδήλωκεν ἐν τῇ θ′.

Γηπέδων: Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. γήπεδον τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. Πλάτων γοῦν ἐν ε′ Νόμων φησὶν "ὧν ἔλαχεν οἰκοπέδων ἢ γηπέδων."

Γλαῦκος: ὄνομα κύριον, τὸ γένος Καρύστιος.

Γλυκέρα: ἑταίρα τις.

Γνῶσις: ἀντὶ τοῦ κρίσις Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος.

3. ἐν ᾧ μέταλλον (μέταλον D.E.T.) :— 4. ΓΗΠΕ'ΔΩΝ—Στεφάνου om. 5. ἀπαρτιζόμενον :— 8. τὸ om. Καρύστιος] καὶ ῥύστιος T. 9. τις] τις ἦν D. 10. Δημ.] ὡς Δημ.

1. τὴν ἐκκλησίαν L.N. Ceteri τῇ ἐκκλησίᾳ cum Ald.

3. μέταλλον] μέταλλα N.

4. Ἔφορος δεδήλωκεν ἐν τῇ θ′] εὔφορος δεδήλωκεν ἐν τῇ θ′ C.G. ἔφορος δεδήλωκεν ἐν τῷ θ^{ω} L. ἔφορος δεδήλωκεν N. δεδήλωκεν ἔφορος ἐν θ^{ω} περὶ χωρίων O. ἔφορος περὶ χωρίων (omisso δεδήλωκεν) Ald. ἔφορος καὶ χωρίον A. Ἔφορος ἐν Ἐπιχωρίῳ Boissonadus ad Herodiani Epimer. p. 209. parum probabiliter, licet Ephorum ἐν συντάγματι τῷ ἐπιγραφομένῳ Ἐπιχωρίῳ Plutarchus citet in libello de vita Homeri c. 2. Mihi manifestum videtur illud περὶ χωρίων vel περὶ χωρίον ortum esse ex proximæ glossæ verbis γήπεδον τὸ χωρίον, quam cum præcedente glossa aliquo in libro confusam fuisse ex eo apparet quod prima ejus verba γηπέδων—ἀπαρτιζόμενον absunt ab A. et Ald., verba ὥσπερ —ἀπαρτιζόμενον ab C.G., porro ab initio γηπέδων ἔφορος καὶ χωρίων scriptum est in B.C.G.L., γηπέδων ἔστι ἔφορος καὶ χωρίον in N. Eadem Muelleri sententia in Fragm. Hist. vol. 2. p. 159.

— θ′] δ′ (in quo libro Ephorus Asiæ regiones et adjacentes insulas descripsit) Muellerus l. c. vol. 1. p. 276.

7. γοῦν] οὖν B.C.

— ε′ (πέμπτῳ Ald. πέμπτῃ C.) Νόμων] p. 741 c.

— ἔλαχεν] ἔλαχον B.N.

8. ὄνομα—Καρύστιος] τὸ γένος καρύστιος (καρέστιος B.) καὶ ὄνομα κύριον B.C.

— Καρύστιος] μαρέστιος L.

10. Δημοσθένης] p. 778, 17. 802, 8.

— Post hanc gl. sequebatur, γναφεύς. τοῦτο οἱ παλαιοὶ Ἀττικοὶ (οἱ παλαιοὶ ποιηταὶ C.) διὰ τοῦ γ. (διὰ τοῦ κ. ἔλεγον Ald.) κοινὸν δὲ (δὲ om. G.) τὸ (τὸ om. C.) διὰ τοῦ γ. κνάφος δέ ἐστιν ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. τοῦτο οἱ νεώτεροι διὰ τοῦ γ λέγουσι παρὰ τὴν γνάψιν. κναφεὺς μὲν οὖν (οὖν om. B.C.) παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. καὶ Ὅμηρος, (Il. 11, 639.) "ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι "χαλκείῃ." γναφεὺς (κναφεὺς L.) δὲ, παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος τὸ λαμπρόν. Quæ ab interpolatore illata sunt ex schol. Aristoph. Pluti v. 166. ubi iisdem fere verbis scripta leguntur. Non habent hanc glossam E.T. neque in suo Epitomes exemplari reperit Suidas, qui quæ de vocabulis γναφεύς et κναφεύς paullo brevius tradidit ipsa quoque ex scholiasta Aristophanis derivata sunt.

Γόργυρα: τὸ κατὰ γῆς ὄρυγμα· Δείναρχος, Αἰσχίνης. ἔστι καὶ παρ' Ἡροδότῳ ἐν γ'.

Γραμματεύς: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν, ὡς τῶν γραμμάτων τ' ἐστὶ κύριος καὶ τὰ ψηφίσματα τὰ γενόμενα φυλάττει καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Γραφεύς: ἀντὶ τοῦ ζωγράφος Δημοσθένης κατὰ Μειδίου. καὶ Γράφειν δὲ τὸ ζωγραφεῖν ἔλεγον.

Γραφή: δημοσίου τινὸς ἐγκλήματος ὄνομα. οὐ μόνον δὲ ὅταν ψηφίσματος ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι καὶ γράφεσθαι λέγεται, ἀλλὰ καὶ ἐπ' ἄλλοις πολλοῖς ἀδικήμασιν, ὅταν ἢ δημοσίᾳ ἢ ὡς ἐπὶ δημοσίοις αὐτοῖς ἐγκαλῇ τις. πολὺ δὲ τοὔνομα παρὰ τοῖς ῥήτορσι. Δημοσθένης κατὰ Κόνωνος.

1. *οὕτω Δείναρχος καὶ Ἡρόδοτος καὶ ἄλλοι* :— 3. *Δημ.—πολιτείᾳ*] *ὁ γραμματεὺς γραμμάτων τέ ἐστι κύριος καὶ τὰ γενόμενα ψηφίσματα φυλάττει καὶ—βουλῇ* :— Totam gl. omisit Suidas, sed habet duas aliorum grammaticorum. 9. *δὲ* om. *ἔλεγον* om. 11. *παράνομον* (non Suidas.) 12. *πολλοῖς δημοσίοις ἀδικήμασι. πολλὴ δὲ ἡ χρῆσις* (*παρὰ* addit D.) *τοῖς ῥήτορσι* :—

Habet vero D. hac cum scripturæ diversitate, *γναφὰς καὶ γὰρ οἱ παλαιοὶ Ἀττικοὶ—διὰ τοῦ γ. κνάφος ἐστὶ καὶ ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ̄ παρὰ τὴν γνάψιν. κναφὰς δὲ παρὰ— —αἰγεῖον—λαμπρόν* :—

1. ΓΟΎΡΓΥΡΑ] Libri *γοργύρα*, contra regulam Herodiani *περὶ μον. λέξ.* p. 17, 26, cui *Κέρκυρα, γόργυρα* pro *κέρκυρα κόρκυρα* restituit Lobeck. Pathol. p. 274. Conf. dicta in Thesauro vol. 2. p. 735.

— *Αἰσχίνης*] *αἰσχίνη* L. Non legitur apud Æschinem mirumque est *Δείναρχος, Αἰσχίνης* dici non interposito *καί*. Valde probabilis igitur Valesii conjectura *Δείναρχος ἐν συνηγορίᾳ Αἰσχίνῃ*, quomodo hanc orationem aliquoties citat Harpocratio, vel plena inscriptione *Δείναρχος ἐν συνηγορίᾳ Αἰσχίνῃ κατὰ Δεινίου*. Sauppio Fragm. p. 340. verisimilius videtur Dinarchi orationem *κατὰ Καλλίππου* significari, non alia de caussa quam quod similis notionis verbum *ὑπονομεύοντες* ex ea attulit Harpocratio.

2. *Ἡροδότῳ ἐν γ'*] c. 145.

3. *Δημοσθένης*] p. 238, 14. in psephismate spurio.

— *ὑπὲρ*] *ἐν τῷ ὑπὲρ* B.C.

4. *τε* om. B.C.

— *ὡς—πολιτείᾳ* om. C.

5. *γενόμενα*] *γινόμενα* B.

— *καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται*] Hoc *ἀντιγραφέως* potius officium est, de quo v. Pollux 8, 98, ut monent Vales. et Boeckh. Œcon. vol. 1. p. 254.

8. *Δημοσθένης*] p. 562, 12.

9. *δὲ* om. L. cum Epitome.

— *ἔλεγον*] *ἔλεγεν* C.G.

10. ΓΡΑΦΗ'—*Κόνωνος* om. C.

11. *καὶ γράφεσθαι* om. N.

12. *πολλοῖς* om. L.

— *ὅταν ἢ*] *ὅταν ᾗ* B.L.

14. *Δημοσθένης*] p. 1256. 1262.

Γρυπάνιον: Ἀντιφῶν Ἀληθείας β΄ "καῖον γὰρ τὴν γῆν καὶ συν- "τῆκον γρυπάνιον ποιεῖ." καὶ Μελάνθιος ἐν β΄ Ἀτθίδος εἰπὼν σεισμὸν γεγονέναι φησὶ "καὶ ἔγρυπεν ἡ γῆ." Διονύσιος μὲν οὖν ὁ τοῦ Τρύφωνος ἐν δ΄ Ὀνομάτων "γρυπαίνειν ἐστὶ" φησὶ "τὸ γρυποῦσθαι, "οἷον τὰ ἁπαλὰ ξυλήφια ὅταν κάμψαντες ἀφῶμεν." μήποτε δ᾽ ἐμφαίνουσιν οἱ συγγραφεῖς ὡς γινομένης κατὰ τοὺς σεισμοὺς γρυπότητός τινος περὶ τὴν γῆν.

Γρύλλος: Ὑπερείδης ἐν τῷ πρὸς Ἐπικλέα περὶ οἰκίας. Ξενοφῶντος τοῦ Σωκρατικοῦ υἱοὶ Γρύλλος καὶ Διόδωρος. ἐτελεύτησε δὲ οὗτος ἐν Μαντινείᾳ μαχόμενος.

Γυλιός: σκεῦος στρατιωτικὸν πλεκτὸν, εἰς ὃ ἐνετίθετο τὰ ἐπιτήδεια, ὡς καὶ Ἀριστοφάνης δηλοῖ ἐν Εἰρήνῃ.

Γύλιππος: ὄνομα κύριον, Λακεδαιμόνιος.

Γύλων: ὄνομα κύριον.

1. ΓΡΥΠΑ΄ΝΙΟΝ. γρυπαίνειν τὸ γρυποῦσθαι λέγουσιν οἷον ἐπὶ τῶν ἁπαλῶν ξυλυφίων (ξυληφίων D.), ὅταν κάμψαντες ἀφῶμεν αὐτά. Ἀντιφῶν δέ φησιν ἐν Ἀλ. δευτέρῳ, καίων γὰρ (ἣν add. Suidas, om. Etym. M. p. 242, 9. et Zonaras p. 456.) τὴν γῆν καὶ συντήκων γρυπάνιον ποιεῖ. καὶ Μελάνθιος σεισμὸς φησὶ γέγονε καὶ ἔγρυπεν ἡ γῆ (γαῖ.. D. cum duarum literarum spatio) :— 8. et 9. ΓΡΥ΄ΛΛΟΣ] Γρῦλος (γρύλος D. sed Γρύλλος Suidas). Ὑπερείδης—οἰκίας om. 9. Διόδωρος :— 11. ἐνετίθετο] ἐνετίθεντο. ἐπιτήδεια :— (Longiorem alius grammatici glossam substituit Suidas.) 13, 14. ΓΥ΄ΛΙΠΠΟΣ καὶ ΓΥ΄ΛΩΝ. ὀνόματα κύρια :—

2. σεισμὸν—καὶ ἔγρυπεν] σεισμὸς γέγονε καὶ ἔγρυπεν Ald.

3. ἔγρυπεν ἡ γῆ] Comparandum cum locutione ἔκτυπεν ἡ γῆ, quanquam hujus formæ certior fides quam illius ἔγρυπεν, quod Stephanus in Thesauro ab verbo γρύπτειν, quod per γρυποῦσθαι, συγκάμπτεσθαι explicatur ab Hesychio, derivabat, in ἐγρύπαινεν mutabat Dobræus.

— μὲν] δὲ C.

— οὖν om. B.C.

4. δ΄] δευτέρῳ Ald.

— Ὀνομάτων] τῶν ὀνομάτων C.

— γρυπαίνειν] γρυπανεῖν A. B. C. N. Ald.: quod fortasse γρυπάνειν scribendum, ut οἰδάνειν, ὀλισθάνειν et alia hujusmodi verba, quorum terminatio sæpe in -αίνειν corrupta.

— ἐστί om. N.

5. ξυλήφια] ξυλίφια A. ξυλύφια B.C. Ald. ζύμφια N.

5. δ᾽ om. B.C.G.

6. ὡς om. C.G.L.

7. τινος om. N.

— περὶ] κατὰ B.C.

11.—13. om. C.

— ΓΥΛΙΟ΄Σ Bekkerus ex uno alteroque codice. Scribebatur γύλιος, quod est etiam in Epitome. Lex. rhet. in Bekk. Anecd. p. 228, 30. ὀξυτόνως ἀναγνωστέον γυλιός, ὥς φασιν, οὐχὶ δὲ παροξυτόνως, et similiter Etym. M. p. 244, 21.

— ἐνετίθετο] Præstat fortasse Epitomes scriptura ἐνετίθεντο, forma media.

12. ἐν Εἰρήνῃ] v. 526. ubi est γυλίου στρατιωτικοῦ.

13. ὄνομα κύριον Λακεδαίμονος Ald. et, omisso κύριον, A.B.L.

Γωνιασμός: Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ γνήσιος. "ἔστι "δὲ κάμψαντι τοῦ τείχους, ὦ βουλὴ, γωνιασμὸς ἐν ἀριστερᾷ καὶ "εὐρυχωρία πάνυ πολλή." καὶ Ἀριστοφάνης Βατράχοις

λεπτῶν τε κανόνων ἐσβολὰς ἐπῶν τε γωνιασμούς.

Δ.

Δαιδάλου ποιήματα.

Δάειρα: ὄνομα κύριον.

Δάμων: ὄνομα κύριον, διδάσκαλος Περικλέους.

Δάοχος: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. εἷς οὗτος τῶν προεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα.

Δαρεικός: Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους ἑνὸς τῶν λ'. εἰσὶ

1. εἰ γνήσιος] εἰ ἐστὶ γνήσιος ἔστι δὲ om. 2. κάμψαντι] κάμψαντι φησὶν γωνιασμὸς] ἐστὶ γωνιασμὸς 3. εὐρυχωρία πάνυ πολύς (πολλοῖς D.):— (Apud Suidam vulgo εὐρυχωρίᾳ πάνυ πολλῇ, sed codex Leid. πολύς pro πολλῇ, duo alii ὅτι pro πάνυ.) 6. ΔΑΙΔΑ'ΛΟΥ ΠΟΙΗ'ΜΑΤΑ om. 7, 8. ΔΑ'ΕΙΡΑ καὶ ΔΑ'ΜΩΝ. ὀνόματα κύρια:— (In D. post κύρια est ὡς καὶ Περικλέους διδάσκαλος, id est ὃς καὶ π. δ.) Solum Δάμων, ὄνομα κύριον habet Suidas. 9. ΔΑ'ΟΧΟΣ (διάδοχος D.). εἷς ἐστὶν οὗτος 11. ΔΑΡΕΙΚΟ'Σ] Δαρεικοὺς Suidas. Λυσίας—τῶν λ' om. εἰσὶ μὲν] μέν εἰσὶν δὲ T.

1. ΓΩΝΙΑΣΜΟ'Σ] Videtur explicatio excidisse, qualis est apud Hesychium, γωνιασμός: τοίχων συμβολὴ ἐγγώνιος. vel in Bekk. Anecd. p. 228, 10. ὁ τόπος τῆς γωνίας τοῦ τείχους. Monuit Saupp. Fragm. p. 195.

— Λυσίας—γωνιασμὸς om. L.

—εἰ γνήσιος addidi ex Epitome.

2. κάμψαντι] κάμψαντα B.

— τοῦ τείχους] τοὺς τείχους C. τοὺς τοίχους B.G.

3. εὐρυχωρία πάνυ πολλή Bekkerus ad Fragm. Lysiæ p. 492. ed. Oxon. Aberat πάνυ πολλή, quod servavit Epitome in πάνυ πολύς vel πολλοῖς corruptum. εὐρυχωρία πολλή ex Demosth. p. 428. et Platon. Tim. p. 60 e comparavit Sauppius Fragm. p. 195.

— Βατράχοις] 956. ἐν βατράχοις Ald.

6. ΔΑΙΔΑ'ΛΟΥ ΠΟΙΗ'ΜΑΤΑ] Hæc verba in A.B.C.I.L. præcedenti glossæ annexa sunt, quæ verbis finitur γωνιασμοὺς δαιδάλου ποιήματα:—Excidit interpretatio, quam Ald. supplevit verbis ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας, quæ sunt initium longioris apud Suidam explicationis aliunde sumtæ.

7. ὄνομα κύριον om. C., κύριον om. B.I.

8. διδάσκαλος Περικλέους. Δάοχος] διδάσκαλος περικλέους διάδοχος A.B. C.I.

9. Δημοσθένης] p. 324, 8.

— ὑπὲρ Κτησιφῶντος addunt codices, om. Ald.

10. τὰ Θετταλῶν πράγματα] τῶν θετταλῶν τὰ πράγματα C.G. τῶν θετταλῶν πραγμάτων A.B.I.

11. Λυσίας] p. 121, 8.

μὲν χρυσοῖ στατῆρες οἱ Δαρεικοὶ, ἠδύνατο δὲ ὁ εἷς ταὐτὸ ὅπερ καὶ ὁ χρυσοῦς παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενος. ἐκλήθησαν δὲ Δαρεικοὶ οὐχ ὡς οἱ πλεῖστοι νομίζουσιν, ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρὸς, ἀλλ' ἀφ' ἑτέρου τινὸς παλαιοτέρου βασιλέως. λέγουσι δέ τινες δύνασθαι τὸν Δαρεικὸν ἀργυρᾶς δραχμὰς κ', ὡς τοὺς ε' Δαρεικοὺς δύνασθαι μνᾶν ἀργυρίου.

Δατεῖσθαι: τὸ μερίζεσθαι, οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν· ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ, οἱ δὲ μὴ, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προκαλούμενοι εἰς δατητῶν αἵρεσιν· Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον, εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Δάτος: πόλις ἐστὶ Θρᾴκης σφόδρα εὐδαίμων· ἀπὸ ταύτης γοῦν ἐλέγετό τις καὶ παροιμία, Δάτος ἀγαθῶν. δεδηλώκασι δὲ περί τε αὐτῆς καὶ τῆς παρακειμένης χώρας ὁτὲ μὲν τὸ Δάτον οὐδετέρως λέγοντες, ὁτὲ δὲ τὴν Δάτον θηλυκῶς, ὡς ἀεὶ Ἔφορος ἐν τῇ δ'· ἅπαξ δ' ἀρσενικῶς τὸν Δάτον Θεόπομπος γ' Φιλιππικῶν. μετωνομάσθη μέν-

1. δὲ ἕκαστος αὐτῶν ὅπερ καὶ ὁ παρὰ τοῖς Ἀ. ὀ. χρυσοῦς (χρυσὸς D.), οὐκ ἀπὸ Δαρείου δὲ τοῦ Ξέρξου πατρὸς, ἀλλ' ἀφ'—παλαιτέρου (παλαιοτέρου D. et Suidas) βασιλέως ὠνομάσθησαν. λέγουσι 5. δραχμὰς ἀργυρίου κ̄ 7. ΔΑΤΕΙ̂ΣΘΑΙ. καὶ δατηταί. (Hoc lemma om. D.) δατεῖσθαι μὲν τὸ μερίζεσθαι, δατηταὶ δὲ οἱ μερισταί. τὸ δὲ εἰς δ. αἵ. εἶδός ἐστι δίκης 10. προκαλούμενοι om. 11. αἵρεσιν. οὕτω Λυσίας καὶ Ἀριστοτέλης :— 13. ΔΑ'ΤΟΣ. πόλις Θρᾴκης σφόδρα εὐδαίμων, ἀφ' ἧς καὶ (καὶ om. D.) ἡ παροιμία Δάτος (Δατὸς Suidas, sed in lemmate Δάτος) ἀγαθῶν. ταύτην δὲ τὴν πόλιν καὶ τὴν παρακειμένην χώραν θηλυκῶς καὶ ἀρρενικῶς (ἀρσενικῶς Suidas) ὀνομάζουσιν :— ἐστι om.

1. οἱ om. B.C.

4. τινὸς παλαιοτέρου addunt codices, om. Ald.

5. κ' restitutum ex Epitome, quod εἴκοσι plene scriptum apud Suidam. Libri vel η' vel, quod est in Ald., ὀκτώ.

7. τὸ prius om. C.

8. τι om. B.C.

10. τοῖς μὴ βουλομένοις] τοὺς μὴ βουλομένους N.

— προκαλούμενοι] Legebatur προσκαλούμενοι. Correxit Meierus collato πρόκλησις, quo utitur Lex. rhet. Cantabrig. p. 667, 28.

11. εἰ γνήσιος om. B.C.I.

12. Ἀριστοτέλης] Ipsa Aristotelis verba apposita sunt in Lex. rhet. Cantabr. p. 667, 30.

13. ΔΑ'ΤΟΣ] Scribebatur hic et infra Δατός, ὀξυτόνως. Correxi ex Epitome. Apud Steph. Byz. est Δᾶτον, cum circumflexo. Paroxytonum est apud Strabonem aliosque, quorum loci collecti sunt in Thesauri ed. Paris.

14. καὶ om. I.

17. ἀρσενικῶς] ἀρρενικῶς A. Ald.

— μετωνομάσθη] μετωνομάσθησαν G.

τοι ἡ πόλις τῶν Δατηνῶν Φίλιπποι, Φιλίππου τοῦ Μακεδόνων βασιλέως κρατήσαντος αὐτῆς, ὡς Ἔφορός τέ φησι καὶ Φιλόχορος ἐν τῇ ε´.

Δεήσεις: ἀντὶ τοῦ ἐνδείας Ἀντιφῶν Ἀληθείας πρώτῳ.

Δεῖγμα: κυρίως μὲν τὸ δεικνύμενον ἀφ᾽ ἑκάστου τῶν πωλουμένων· ἤδη δὲ καὶ τόπος τις ἐν τῷ Ἀθήνησιν ἐμπορίῳ, εἰς ὃν τὰ δείγματα ἐκομίζετο, οὕτως ἐκαλεῖτο. ἔστι δὲ τὸ ἔθος Ἀττικὸν, τὸ σημαίνειν ἀπὸ τῶν ἐν τῷ τόπῳ τοὺς τόπους αὐτούς. Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος καὶ Λυσίας.

Δειπνοφόρος: Ὑπερείδης ἐν τῷ κατὰ Δημέου. λέγεται δὲ καὶ τὰς δειπνοφόρους καταλέγεσθαι νῦν, ὅτι αἱ τῶν κατακεκλειμένων παίδων μητέρες εἰσέπεμπον καθ᾽ ἡμέραν αὐτοῖς τροφὴν εἰς τὸ τῆς Ἀθηνᾶς ἱερὸν, ἐν ᾧ διῃτῶντο, καὶ αὐταὶ συνῄεσαν ἀσπασόμεναι τοὺς ἑαυτῶν.

Δειραδιώτης: δῆμος τῆς Λεοντίδας Δειράδες, ἀφ᾽ οὗ ὁ δημότης Δειραδιώτης.

Δείνωι: ἀντὶ τοῦ δεινήσει Ἀντιφῶν Ἀληθείας β´.

6. ἤδη] ἔστι εἰς ὃν (ὃ D.) τὰ δείγματα ἐκομίζετο, καλούμενος οὕτως. Ἀττικὸν δέ ἐστιν ἔθος (δὲ ἔθος ἐστὶ Suidas) τὸ καλεῖν ἀπὸ τῶν ἐν τῷ τόπῳ καὶ αὐτοὺς τοὺς τόπους (τόπῳ τοὺς αὐτοὺς τόπους D.):— 10. ΔΕΙΠΝΟΦΟ´ΡΟΣ. αἱ φέρουσαι τοῖς κατακεκλιμένοις ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τὰ δεῖπνα:— E.T. δειπνοφόρος ἡ φέρουσα δεῖπνα:— D. 15, 16. ΔΕΙΡΑΤΙΩ´ΤΗΣ, in quo vitio consentit Suidas. τῆς] ἐστι τῆς 17. ΔΕΙΝΩ´Ι, omissis ἀντὶ—β´. Sic etiam Suidas suo in libro glossam sine interpretatione positam invenisse videtur: quamobrem omisit.

1. Φίλιπποι addidit Gronovius, collato Appiano Civ. 4, 105.

6. ἤδη] ἰδίως Valckenar. ad Stephani Thes. s. v. ἰδίως. ἔστι vel ἔτι positum in Epitome.

8. τῷ τόπῳ] τῷ om. B.C.L.

— Δημοσθένης] p. 1214, 18.

9. Λυσίας] In oratione contra Tisidem ap. Dionys. de adm. vi Demosth. c. 11.: ἐκόμισαν αὐτὸν εἰς τὸ δεῖγμα ἐν κλίνῃ.

10. δημέου A. δημείου I. μειδίου B.C. δημάδου Ald.

— λέγεται—τὰς ἑαυτῶν] Sunt Philochori verba, ut ostendit Lex. rhet. in Bekk. Anecd. p. 239, 11., intelligenda illa de pueris, qui in memoriam eorum, quæ quondam ante Thesei iter Creticum facta erant, quotannis festo die Oschophoriorum cibos in templum Minervæ Sciradis deferrent. V. Plut. Thes. 22. 23. SAUPP. Fragm. p. 289.

11. κατακεκλειμένων] κατακεκλιμένων A.B.C.I. κατακεκλεισμένων N.

12. εἰσέπεμπον] εἰσέφερον N.

13. συνῄεσαν ἀσπασόμεναι N. Ceteri συνῆσαν ἀσπαζόμεναι.

17. ΔΕΙ´ΝΩΙ (sic Toupius pro δεινῷ)—δεινήσει] Scriptura antiqua pro δίνῳ—δινήσει. In N. scriptum δινῶ—δινήσω.

Δεκάζων: ⁴Ἰσοκράτης περὶ τῆς εἰρήνης. ὅ τι ποτὲ τοῦτ' ἐστὶ, δῆλον ἅπασιν· ⁴Ἐρατοσθένης δὲ ἐν τοῖς περὶ τῆς ἀρχαίας κωμῳδίας πόθεν τὸ πρᾶγμα εἴρηται δηλοῖ οὕτω λέγων "Λύκος ἐστὶν ἥρως πρὸς "τοῖς ἐν Ἀθήναις δικαστηρίοις, τοῦ θηρίου μορφὴν ἔχων, πρὸς ὃν οἱ "δωροδοκοῦντες κατὰ ι' γιγνόμενοι ἀνεστρέφοντο, ὅθεν εἴρηται Λύκου "δεκάς." Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ ⁴Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια.

Δέκα καὶ δεκαδοῦχος: ⁴Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ "ἦρχον μὲν γὰρ οἱ ι' οἱ μετὰ τοὺς λ' καταστάντες." περὶ τῶν μετὰ τὴν κατάλυσιν τῶν λ' Ἀθήνησι χειροτονηθέντων ἀνδρῶν ι' καὶ τῶν ἑξῆς εἴρηκεν Ἀνδροτίων ἐν τῇ γ'. ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων δεκαδοῦχος, ὡς δῆλον ποιεῖ Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους κλήρου.

Δεκαδαρχία: ⁴Ἰσοκράτης. τὰς μὲν ὑπὸ Λακεδαιμονίων κατασταθείσας ἐν ταῖς πόλεσι δεκαδαρχίας συνεχῶς ὀνομάζουσιν οἱ ἱστορικοὶ, ὁ μέντοι ⁴Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ τρόπον τινὰ ἐξηγήσατο τοὔνομα· φησὶ γὰρ ὅτι Λακεδαιμόνιοι ι' μόνον ἄνδρας κυρίους ἑκάστης πόλεως ἐποίησαν. Φίλιππος μέντοι παρὰ Θετταλοῖς δεκαδαρχίαν οὐ κατέστησεν, ὡς γέγραπται ἐν ϛ' Φιλιππικῷ Δημοσθένους, ἀλλὰ τετραρχίαν.

1. ΔΕΚΑ'ΖΩΝ. *τὸ σημαινόμενον δῆλον, ἐποιήθη δὲ τὸ ὄνομα ἐντεῦθεν. Λύκος μέν ἐστιν ἥρως μορφὴν ἔχων τοῦ θηρίου, πρὸς δὲ τοῖς ἐν Ἀθήναις ἀνεστήλωται δικαστηρίοις· πρὸς ὃν* (*οἱ* addit D. et Suidas) *δωροδοκοῦντες κατὰ ῑ γινόμενοι ἀνεστρέφοντο. ἔνθα* (*ὅθεν* D. *ἔνθεν* duo codices Suidæ) *καὶ ἡ παροιμία* (*εἴρηται* addit D.) *Λύκου δεκάς. ἐξ οὗν* (*ἧς* D.) *τῆς δεκάδος τὸ δεκάζειν καὶ τὸ* (*τὸ* om. Suidæ codices) *δεκάζεσθαι* (*καὶ τὸ δεκάζεσθαι* om. Z.) :— 8. ΔΕ'ΚΑ *καὶ* ΔΕΚΑΔΟΥ^ΧΟΣ. *δέκα μὲν ἦρχον μετὰ τοὺς λ καταστάντες, ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων δεκαδοῦχος, ὡς δηλοῖ Λυσίας* :— 14. ΔΕΚΑΔΑΡΧΙ'ΑΙ. *τὰς ὑπὸ* (*τῶν* addit D.) *Λακεδαιμονίων* 15. *ἱστορικοί. καὶ* (*καὶ* om. D.) *Φίλιππος μέντοι παρὰ Θετταλοῖς δεκαδάρχην κατέστησεν, ὡς Δημοσθένης ἐν ϛ Φιλιππικῶν* :—

1. *Ἰσοκράτης*] p. 169 d.
5. *ἀνεστρέφοντο*] *συνεστρέφοντο* A.B.I. Ald.
8. *Ἰσοκράτης*] p. 372 a.
10. *περὶ*] *περὶ δὲ* Stephanus.
— *μετὰ*] *κατὰ* I., rec. B., Ald.
14. ΔΕΚΑΔΑΡΧΙ'Α] *δεκαδαρχίαι* Stephanus. Non opus.
— *Ἰσοκράτης*] p. 63 d. 101 c.
— *κατασταθείσας*] *κατασπασθείσας* B. *κατασπαρείσας* C.G.
15. *ἐν ταῖς* additum ex Epitome.
16. *Ἰσοκράτης*] p. 246 d.
17. *μόνον*] *μόνοι* C.
19. *ἐν*] *ἐν τῷ* A. Ald.
— *Φιλιππικῷ* codices. *φιλιππικῶν* Ald.
— *Δημοσθένους*] p. 71, 13.
20. *τετραρχίαν*] *τετραδαρχίαν* Valck. orat. de Philippo p. 261. inter quas formas variant libri Demosthenis p. 117, 26.

Δεκατεύειν: Δημοσθένης κατ' Ἀνδροτίωνος "οὐ γὰρ αὐτοὺς δε- "κατεύοντες" ἀντὶ τοῦ τὴν δεκάτην εἰσπραττόμενοι καὶ οἷον λαφυραγωγοῦντες· τὰ γὰρ ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκάτευον τοῖς θεοῖς. Δημοσθένους δ' ἐν τῷ κατὰ Μέδοντος περί τινος παρθένου λέγοντος οὕτως "οὐ δεκατεῦσαι ταύτην οὐδὲ μυῆσαι," Δίδυμος ὁ γραμματικὸς περὶ τούτου βιβλίον γράψας φησὶν ὅτι τὸ δεκατεῦσαι Λυσίας ἐν τῷ περὶ τῆς Φρυνίχου θυγατρὸς ἀρκτεῦσαι εἴρηκεν. δεκατεῦσαι μέντοι, φησὶν, κυρίως ἐλέγετο τὸ καθιερῶσαι, ἐπειδήπερ ἔθος ἦν Ἑλληνικὸν τὰς δεκάτας τῶν περιγινομένων τοῖς θεοῖς καθιεροῦν. ἴσως δὲ τὸ ἀρκτεῦσαι δεκατεῦσαι εἴρηκεν ὁ ῥήτωρ, ἐπειδὴ αἱ δεκετίδες ἤρκτευον.

Δεκατεττάς: ἀντὶ τοῦ τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ ἦν τελώνιον ἡ δεκάτη δεδήλωκε Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν.

Δεκατηλόγους: τοὺς τὴν δεκάτην ἐκλέγοντας ταυτὸν ἄρα τοῖς δεκατευταῖς. Δημοσθένης κατὰ Ἀριστοκράτους.

Δεκελεικός: ὁ Πελοποννησιακὸς πόλεμος, ἀπὸ μέρους τοῦ τελευταίου.

1. *δεκατεύειν ἀντὶ τοῦ δεκάτην εἰσπράττεσθαι καὶ λαφυραγωγεῖν. τὰ δ' ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκατεύοντο θεοῖς. διὸ κυρίως δεκατεῦσαι τὸ καθιερῶσαι, κατὰ μεταφορὰν δὲ* (*δὲ* om. D.) *καὶ τὸ δεκάτην ὁπωσοῦν λαβεῖν καὶ ἀπαιτῆσαι*:— 12. *ἀντὶ τοῦ*] *τοὺς* *ἐκλέγοντας*] *καὶ συλλέγοντας* addunt Suidæ codices, on ed. Mediol. 13. *οὕτως Ἀντιφῶν*:— (In T. *δεκατευτὰς τοὺς τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας ταυτὸν ἄρα τοῖς δεκατευταῖς*, hac proximaque glossa confusis.) 14. *Δημοσθένης κατ' Ἀριστογείτονος* (nam sic codex) solus habet D.

1. *Δημοσθένης*] p. 617, 22.
2. *τὴν* om. B.
3. *ἐδεκάτευον*] *ἐδεκατεύοντο* B.C.G.
7. *ἀρκτεῦσαι* om. I.
8. *κυρίως ἐλέγετο*] *ἐλέγετο κυρίως* A.B. Ald.
— *καθιερῶσαι*] *καθιεροῦν* A.C. Ald.
9. *ἦν* om. C.
— *περιγινομένων*] *περιγενομένων* C.
— *θεοῖς*] *ἱεροῖς* C.G.
13. *Δημοσθένους γραφὴν*] *δημοσθένους γραφῇ* Ald. *δημοσθένην γραφῇ* A.B.C.
— *ἀπολογίᾳ* om. A.B.C.I. Ald.
— *δὲ* om. A.B.I.
14. *ἀτελειῶν* Valesius. Legebatur *τελῶν*, quod *τελωνῶν* scriptum in B. Orationem dicit Leptineam (p. 475, 6.) quam *τὸν περὶ τῶν ἀτελειῶν* appellat s. v. *θέσθαι*, *Θευδοσίαν* et *Λυσίμαχος*.
15. ΔΕΚΑΤΗΛΟΓΟΥΣ—*Ἀριστοκράτους*] Sic hæc restitui ex Epitome. Legebatur *δεκατηλόγος ὁ αὐτὸς τῷ δεκατευτῇ*. Locus Demosthenis, cujus mentionem solus omnium librorum servavit D., est p. 679, 26.: unde quod in codice est *ἀριστογείτονος* mutavi in *Ἀριστοκράτους*. Idem hujus codicis vitium est s. v. *Εὐμενίδες*. De *δεκατευταῖς* et *δεκατηλόγοις* vid. Boeckh. Œc. 1. p. 443.

Δελφίνιον: χωρίον ἐν Χίῳ, ὡς Θουκυδίδης ἐν τῇ η'. ἕτερον δ' ἐστὶ Δελφίνιον Ἀθήνησιν ἱερὸν Ἀπόλλωνος, ἔνθα ἦν καὶ τὸ ἐν Δελφινίῳ δικαστήριον· Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν.

Δερκυλίδας: Λακεδαιμονίων βασιλεύς.

Δερματικόν: Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ "ἀπολογισμὸς ὧν "πεπολιτευται." δερματικὸν ἂν εἴη λέγων ὁ ῥήτωρ τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγινόμενον ἀργύριον.

Δερμηστής: Λυσίας ἐν τῷ πρὸς Εὐπείθην. Δίδυμος μὲν ἀποδίδωσι τὸν σκώληκα οὕτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ, ἐν ζ' τῆς ἀπορουμένης λέξεως, Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος τὸν ὄφιν ἀπέδωκε. μήποτε δὲ μᾶλλον ἂν εἴη ὅστις τὰ δέρματα ἐσθίει δερμηστής, ὡς ὑποσημαίνεται καὶ ἐν ς' Μιλησιακῶν Ἀριστείδου.

Δευσοποιός: κυρίως μὲν ἐπὶ τῆς πορφύρας λέγεται τοὔνομα τῆς ἔμμονον καὶ ἀνέκπλυτον ἐχούσης τὸ ἄνθος τῆς βαφῆς· ἐκ μεταφορᾶς δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονον καὶ πολυχρόνιον τὸ δευσοποιὸν λέγεται παρὰ τοῖς παλαιοῖς, ὡς καὶ Πλάτων διασαφεῖ ἐν δ' Πολιτείας. Δίφιλος Συντρόφοις

1. ΔΕΛΦΙ'ΝΙΟΝ. ἔστι μέν τι χωρίον ἐν Χίῳ, ἔστι δὲ καὶ ἐν Ἀθήνησιν (sic etiam Suidas, vitiose pro ἐν Ἀθήναις vel simplici Ἀθήνησιν. Idem vitium in libris omnibus s. v. ἕρκειος Ζεύς.) ἱερὸν Ἀπόλλωνος οὕτω καλούμενον, ἔνθα ἦν τὸ ἐν Δελφινίῳ δικαστήριον :— 4. ΔΕΡΚΥΛΙ'ΔΑΣ (Δερκυλλίδας Suidas). ὄνομα κύριον βασιλέως (βασιλεὺς D. et Suidas) Λακεδαιμονίων :— 5. Λυκοῦργος λέγει τὸ ἐκ—περιγινόμενον ἀργύριον (δερματικὸν προσηγόρευεν addit D.) :— 8. ΔΕΡΜΑΙΣΤΗ'Σ (δερμιστής D. et Suidas). Λυσίας μὲν (μὲν om. D.) τὸν σκώληκά φησιν οὕτω λέγεσθαι, Ἀρίσταρχος δὲ τὸν ὄφιν, εἴη δ' ἂν μᾶλλον ὁ τὰ δέρματα ἐσθίων ἑτοιμότερον (ἐτυμώτερον recte apud Suidam) οὕτω καλούμενος (ἑτοιμότερον—καλούμενος om. D.) :— 13. τοὔνομα] τὸ ὄνομα 15. ἔμμονον (τε addit D.) καὶ πολυχρόνιον :—

1. ἐν τῇ om. B.I. In A. est ὁ.
— ἐν τῇ η'] c. 38.
3. Δημοσθένης] p. 1011, 17.
4. ΔΕΡΚΥΛΙ'ΔΑΣ Epitome. Scribebatur Δερκυλλίδας.
— βασιλεὺς] στρατηγὸς dicere debebat, ut monuit Valesius.
6. δερματικόν] De hoc dixit Boeckh. Inscr. vol. 1. p. 251. et Œcon. vol. 2. p. 120.
7. περιγιγνόμενον] περιγενόμενον C., om. B.
8. δερμηστής hic et infra Blancardus. Scribebatur δερμιστής. Lex. rhet. in Bekk. Anecd. p. 240, 14. δερμηστής: οἱ μέν φασιν εἶδος σκώληκος, ὃ κατεσθίει τὰ δέρματα, Ἀρίσταρχος δὲ ὄφεως εἶδος.
8. Εὐπείην] εὐπείθη A.
9. Σοφοκλεῖ] Fragm. 397.
11. ἂν εἴη] εἴη ἂν A. Ald.
12. δερμηστής] δερματιστής N.
— ς'] ς^ω C. τῷ ἕκτῳ N. τῇ ἕκτῃ Ald.
14. ἀνέκπλυτον ex Epitome pro ἀνέκλυτον.
— τὸ ante δευσοποιὸν om. C.
17. δ'] Libri ε' vel πέμπτῳ, nisi quod ι^ω B.C.G. Locus est 4. p. 429 e.
— Δίφιλος—ἀποδέδειχεν om C.

ἀγαθὸς βαφεὺς ἔνεστιν ἐν τῷ παιδίῳ·
ταυτὶ γὰρ ἡμῖν δευσοποιὰ παντελῶς
τὰ σπάργαν' ἀποδέδειχεν.

Δημαίνετος: ὄνομα κύριον.

Δηλιασταί: οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί· Λυκοῦργος κατὰ Μενεσαίχμου.

Δήμαρχος: Λυσίας ἐν τῷ κατὰ Μόσχου. ἄρχων τις ἦν ὁ δήμαρχος· οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν, καὶ συνῆγον τοὺς δήμους ὁπότε δεήσειεν, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους καταστάθηναι, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.

Δημόκοινος: ὁ δημόσιος βασανιστής. Ἰσοκράτης ἐν τῷ Τραπεζιτικῷ σχεδὸν ἐξηγήσατο τοὔνομα.

Δημοποίητος: ὁ ξένος μὲν ὢν τῇ φύσει, ὑπὸ δὲ τοῦ δήμου πολίτης γεγενημένος. ὃν δὲ τρόπον γίνονταί τινες δημοποίητοι δεδήλωκε Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος.

Δημόσιος: Δημοσθένης Φιλιππικοῖς. δημοσίους λέγουσι τοὺς

5. θεωροί. οὕτω Λυκοῦργος :— 7. ΔΗ'ΜΑΡΧΟΣ. ἑκάστου δήμου τῶν ἐν Ἀθήναις ὁ κατάρχων δήμαρχος ἐλέγετο. οὗτοι 8. τῶν προσόντων ἑκάστῳ 9. παρ' αὐτοῖς ἦν. ἀλλὰ καὶ σ. 10. ἐδίδοσαν. καὶ ἐνεχύραζον (libri Suidæ partim sic, partim, ut videtur, ἐνεχυρίαζον) δὲ οὗτοι :— 15. βασανιστής :— 17. ὁ φύσει μὲν ξένος πολίτης γεγονώς :— 20. Δημ. Φιλ. om.

1. ἔνεστιν] ἔστιν I.
— παιδίῳ] πεδίῳ A.B.I. Ald.
2. ταυτὶ — ἀποδέδειχεν] ταύτη — ἀποδεδείχθω A.B.I.N. Ald.
4. Δ.—κύριον om. C.
5. εἰς Δῆλον] ἐκ δήλου C.
— ἐξελθόντες] ἐξερχόμενοι N. πεμπόμενοι dixit Hesychius.
8. τῶν ἐν ἑκάστῳ] ἐν, quod diserte enotatum ex N. et habet Ald., excidit in Maussaci ceterisque editionibus et videri potest abesse ab A.B.C.G.I., si quid Bekkeri silentio tribuendum. Pro eo προσόντων est in Epitome minus apte, ut recte monet Boeckh. Œcon. vol. 1. p. 664, qui quæ de officio demarchorum dixit in dubitationem vocata sunt a Bakio Schol. Hypomn. vol. 4. p. 131. In ἐν consentit schol. Ar. Nub. 37, qui iisdem quibus Harpocratio verbis utitur.
9. καὶ om. C.
— ἦν om. C.
13. ἠνεχυρίαζον] ἐνεχυρίαζον B.I. ἐνεχύραζον A.N.
— Ἀριστοφάνης] Fragm. 412.
— σκηνὰς] σκηναῖς A.B.C.I.N. Ald.
15. Ἰσοκράτης] p. 361 d.
19. Δημοσθένης] p. 1375, 3.
20. Δημοσθένης] p. 23, 20.
— Φιλιππικοῖς] ἐν φιλιππικοῖς I.

τῆς πόλεως δούλους. Αἰσχίνης κατὰ Τιμάρχου "ἄνθρωπον δημόσιον "οἰκέτην τῆς πόλεως."

Δημοτελῆ καὶ δημοτικὰ ἱερά: διέφερον ἀλλήλων καὶ τῶν ὀργεωνικῶν καὶ τῶν γενικῶν, ὡς Δείναρχος δηλοῖ ἐν τῷ κατὰ Στεφάνου.

Δημοτευόμενος: δημοτεύεσθαί ἐστι τὸ τοῦδέ τινος δήμου κοινωνεῖν καὶ χρηματίζειν ἀπ' αὐτοῦ· Ἀντιφῶν ἐν τῇ πρὸς Φίλιππον ἀπολογίᾳ, εἰ γνήσιος.

Δημοφάνης: ὄνομα κύριον.

Διαγορεύων: Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ἰδίως κέχρηται τῷ διαγορεύων ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων. τὸ ἐναντίον γάρ ἐστι παρ' αὐτοῖς τὸ διαγορεύειν τῷ συναγορεύειν, ὥσπερ τὸ συμφέρεσθαι τῷ διαφέρεσθαι καὶ τὸ συμπολιτεύεσθαι τῷ διαπολιτεύεσθαι καὶ τὸ συμφωνεῖν τῷ διαφωνεῖν.

Διάγραμμα: Ὑπερείδης ἐν τῷ πρὸς Ἐπικλέα. τὸ ταττόμενον ἐν ταῖς συμμορίαις ὁπόσον ἕκαστον ἄνδρα εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τίμησιν τῆς οὐσίας. περὶ δὲ τούτων σαφέστατα δεδήλωκεν Ὑπερείδης ἐν τῷ κατὰ Πολυεύκτου

1. *δούλους*:— 4. *ὀργεωνικῶν*] *γεορνικῶν* E.T. *ὀργεονικῶν* D. (Recte scriptum apud Suidam.) *γενικῶν*:— 6. *δημοτεύεσθαι*] *καὶ δημοτεύεσθαι* D. 7. *αὐτοῦ*:— 10. ΔΙΑΓΟΡΕΥ'ΩΝ. *ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων. οὕτως Ἰσαῖος. τὸ δὲ ἐναντίον συναγορεύειν, ὥσπερ ἐναντίον καὶ τὸ* (*ἰσαῖος. ἐναντίον τὸ συναγορεύειν γὰρ ἐστὶ τὸ διαγορεύειν καὶ τὸ* D.) *συμφέρεσθαι πρὸς τὸ διαφέρεσθαι καὶ τὸ συμφωνεῖν πρὸς τὸ διαφωνεῖν* (*ὥσπερ—διαφωνεῖν* om. Z.) 15. ΔΙΑΓΡΑ'ΜΜΑΤΑ (*διάγραμμα* Suidas). *τὸ ταττ.* 16. *ἄνδρα* om. 17. *τίμησιν*] *τιμὴν* Suidas. *περὶ—διαγράμματος* om.

1. *Αἰσχίνης*] p. 8, 27.
2. *οἰκέτην*] *καὶ οἰκέτην* N.
3. *διέφερον*] Quomodo differant exponit Lex. rhet. Bekk. p. 240, 28, ubi male scriptum *ἱερεῖα* pro *ἱερά*, quod notavit Ruhnk. ad Hesych. in Auctar. ad vol. 1. p. 993, et Meier. de gentil. Att. p. 27.
6. ΔΗΜΟΤΕΥΟ'ΜΕΝΟΣ] *δημοτευόμενοι* B.C., om. Ald.
9. ΔΗΜΟΦΑ'ΝΗΣ *ὄνομα κύριον* om. A.B.C.I. Ald.: ex O. addidit Maussacus legiturque in Epitome.
10. *τῷ*] *τὸ* A., om. B.C.G.
10. ΔΙΑΓΟΡΕΥ'ΩΝ] *διαγορεύειν* B. G., om. C.
11. *διάφορα*] *τὰ διάφορα* A. Ald.
— *λέγων*] *λέγειν* C.G.
12. *αὐτοῖς*] *αὐτῷ* (i. e. Isæo) Sauppius Fragm. p. 231.
— *συναγορεύειν*] *συνηγορεῖν* B.
— *ὥσπερ*] *ὥσπερ καὶ* G.
13. *τῷ διαπολιτεύεσθαι* om. A.I. Ald.
15. ΔΙΑ'ΓΡΑΜΜΑ] Conf. Lex. rhet. Bekk. p. 236, 9, de quo dixit Bakius Schol. Hypomn. vol. 4. p. 175.
— *Ὑπερείδης*] *ἰσοκράτης* N.

περὶ διαγράμματος. ΔΙΑΓΡΑΦΕῪΣ μέντοι ἐστὶν ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι πόσον ἕκαστος ἀνὴρ εἰσενεγκεῖν ὀφείλει, ὡς ὁ αὐτὸς πάλιν φανερὸν ποιεῖ ἐν τῷ κατὰ Πολυεύκτου.

ΔΙΑΓΡΑΦΉ: ἡ διατύπωσις τῶν πιπρασκομένων μετάλλων, δηλοῦσα διὰ γραμμάτων ἀπὸ ποίας ἀρχῆς μέχρι πόσου πέρατος πιπράσκεται.

ΔΙΑΓΡΆΨΑΣΘΑΙ: Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος, ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα.

ΔΙΑΔΌΣΕΙΣ: τὰς ἐκ διαιρέσεως ἴσης ἐπιβαλλούσας δόσεις Λυσίας.

ΔΙΑΚΕΧΡΗΜΈΝΟΝ: ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον Δημοσθένης κατ' Ἀφόβου.

ΔΙΆΣΤΑΣΙΣ: Ἀντιφῶν Ἀληθείας β' "περὶ τῆς νῦν κρατούσης "διαστάσεως" ἀντὶ τοῦ διακοσμήσεως τῶν ὅλων.

ΔΙΑΓΡΆΨΑΝΤΟΣ: Δείναρχος κατὰ Λυκούργου. μήποτε ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος. ἔνιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

ΔΙΆΘΕΣΙΣ: ἀντὶ τοῦ πρᾶσις Ἰσοκράτης Βουσίριδι. ἀντὶ δὲ τοῦ ἀποδεδόμεθα ΔΙΕΘΈΜΕΘΑ εἶπεν Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Καλλίου ἔνδειξιν, καὶ ἀντὶ τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας "ἀλλὰ "εἰδότες τὴν διάθεσιν ἀκούουσιν." Φρύνιχος Τραγῳδοῖς "τῇ διαθέ-

2. τῷ] τὸ D. duoque codices Suidæ. ἀνὴρ om. 3. ὀφείλει:— 7. Λυσίας—γνήσιος om. 12. κατ' Ἀφόβου om. 13. Ἀντιφῶν ἀντὶ τοῦ διακόσμησις:— 15. ΔΙΑΓΡΑ'ΨΑΝΤΟΣ. τινὲς μὲν ἀντὶ τοῦ καταβαλόντος 18. ΔΙΑ'ΘΕΣΙΣ. Ἰσοκράτης ἀντὶ τοῦ πρᾶσις, Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοίκησις, καὶ διαθέσθαι ἐπὶ τοῦ διοικῆσαι. παραλαμβάνεται δὲ τὸ διαθέσθαι καὶ ἀντὶ τοῦ συνθέσθαι, ὡς Ὑπερίδης καὶ (verba διαθέσθαι καὶ—Ὑπερίδης καὶ exciderunt ex T.) Δημοσθένης:—

1. ἐστὶν om. C.
— καθιστάμενος] καθήμενος A.
2. εἰσενεγκεῖν ὀ.] ὀ. εἰσενεγκεῖν C.
5. πόσου] ποίου Bekkerus.
— πέρατος πιπρ.] πιπρ. πέρατος A. Ald.
7. κατὰ Νικίδου Sauppius Fragm. p. 200, ex aliis ubi hæc oratio citatur locis Harpocrationis. Legebatur κατὰ Νικιδίου. Idem quorundam librorum vitium est s. v. εὔθυνοι.
9. ἐπιβαλλούσας] ἐπιβαλούσας A.B.
11. Δημοσθένης] p. 817.
17. λέγομεν] ἐλέγομεν A. Ald.
18. Ἰσοκράτης] p. 224 b.
19. ἀποδεδόμεθα] ἀποδιδόμεθα A. ἀποδεδείγμεθα I.
— διεθέμεθα—κακῶς διαθεῖτο om. C.
— διεθέμεθα N. διὰ θέμεθα Ald. δοώμεθα B. δὴ διώσμεθα A.I.
20. καὶ ἀντὶ] ἀντὶ B. ἀντὶ δὲ A.I.
— ἐν τῷ om. A.

"σει τῶν ἐπῶν" φησί. καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ τοῦ διοικῆσαι· Ἀντιφῶν Ἀληθείας α΄ "γυμνωθεῖσα δὲ ἀφορμῆς πολλὰ "ἂν καὶ καλὰ κακῶς διαθεῖτο." διαθέσθαι ἀντὶ τοῦ συνθέσθαι Ὑπερείδης κατὰ Δημοσθένους.

Διάλης ις: διαλαγχάνειν τὸ κλήρῳ διαιρεῖσθαι, διάληξις δὲ τὸ πρᾶγμα· Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου.

Διὰ μέσου τείχους: Ἀντιφῶν πρὸς Νικοκλέα. τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τῶν παρ' ἑκάτερα ἐλέγετο τὸ νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ.

Διαχειροτονία: διάκρισις τῆς χειροτονίας ἐν πλήθει γινομένης· Δημοσθένης ἔν τε τῷ κατὰ Τιμοκράτους καὶ κατ' Ἀνδροτίωνος.

Διαμεμετρημένη ἡμέρα: μέτρον τι ἐστὶν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες.

5. διαλαγχάνειν μέν ἐστι τὸ διαιρεῖσθαι κλήρῳ 6. πρᾶγμα:— 7. ΤΕΙ΄ΧΟΥΣ] τοῦ τείχους duo codices Suidæ. Ἀντιφῶν πρὸς Νικοκλέα om. 8. ὡς—Τριφάλητι om. 9. τε om. καὶ τοῦ Φαληρικοῦ om. T.D. διὰ —νότιον] διὰ μέσου (μέσον D.) τῶν παρ' ἑκάτερα τὸ νότιον ἐλέγετο (ἐλέγεται D.) 11. γινομένης. τοῦτο (τοῦτο om. D.) Δημοσθένης:— 15. πρὸς δὴ τοῦτο] ὡς (εἰς D.) δὴ τοῦτο (τούτῳ Suidas).

2. δὲ] οὖν B.

3. διαθεῖτο] διαθοῖτο I. Ald.

— ἀντὶ—Ὑ. κατὰ Δημοσθένους] καὶ ἀντὶ—ὑπερείδης· δημοσθένης N.

5. τὸ κ. δ.] μέν ἐστι τὸ δ. κ. Ald.

— δὲ] δέ ἐστι A.B.C.I.

7. ΤΕΙ΄ΧΟΥΣ] τοῦ τείχους A. Est autem διὰ μέσου τείχους ab nominativo διὰ μέσου τεῖχος, nisi hoc ipsum restituendum, quod tacite fecit Brunck. ad Aristoph. Fragm. (469 a. ed. meæ). Genitivum si posuit Harpocratio, credendum est hunc casum in Antiphontis oratione exstitisse, ut περὶ τοῦ διὰ μέσου τείχους est in loco Platonico Gorgiæ p. 455 e. ubi schol. (p. 342 ed. Bekk.) præter alia annotavit, τὸ διὰ μέσου τεῖχος καὶ ἄχρι νῦν ἔστιν ἐν Ἑλλάδι. Dixerunt de hoc muro O. Mueller. de munim. Athenarum p. 21. H.N. Ulrichs in topographia portuum Atticorum in Comment. Acad. Bavar. classis 1. vol. 3. p. 645. Westermann. in Diurn. antiq. a. 1843. p. 1010.

9. τῶν παρ' ἑκάτερα ex Epitome. Legebatur τούτων.

10. καὶ Πλάτων] καὶ om. B.C.

12. Δημοσθένης] p. 707, 25. 596, 5.

14. πρὸς δὴ τοῦτο] ὡς δὴ τούτῳ Ald.

— ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί] Clepsydra certam diei partem designabat. Sed cum Græci horas ejusdem per omnes menses longitudinis, quales nostræ sunt, non haberent, dicendum erat quonam anni tempore clepsydra mensura constituta esset. Brumalibus diebus factum esse Harpocratio docet. Aliter hoc apud Romanos institutum erat: cf. G. Geib. de jud. crimin. Rom. p. 609. SAUPP. ad Fragm. p. 233.

διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων. ἐπισκεπτέον δὲ τὸ παρ' Ἰσαίῳ ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους, πῶς μεμετρημένης τῆς ἡμέρας ὁτὲ μέν φησι χωρὶς ὕδατος γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ.

Διάμετρον: τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος· Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ.

Διασκετάσασθαι: ἀντὶ τοῦ σκευάσασθαι Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

Διασείστους: Αἰσχίνης κατὰ Τιμάρχου. ἐοίκασιν ὠνομάσθαι παρὰ τὸ κινεῖσθαι καὶ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι, ἵν' ἀκακούργητοι μᾶλλον ὦσι· Μένανδρος Πωλουμένοις.

Διαψήφισις: ἰδίως λέγεται ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίγνονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστὶν ἢ παρεγγέγραπται ξένος ὤν· Αἰσχίνης κατὰ Τιμάρχου. ἐντελέστατα δὲ διείλεκται περὶ τῶν διαψηφίσεων, ὡς γεγόνασιν ἐπὶ Ἀρχίου ἄρχοντος, Ἀνδροτίων ἐν τῇ Ἀτθίδι καὶ Φιλόχορος ἐν ϛ' τῆς Ἀτθίδος.

2. ταῦτα—περὶ τούτων om. 5. ἐπισκεπτέον δὲ τῷ παρ' Ἰσαίῳ, ὃς μεμετρημένης ἡμέρας 6. φησι post ὕδατος 8. ΔΙΑ'ΜΕΤΡΟΝ. διάμετρον Δείναρχος λέγει τὸ—μετρηθέντος (μετρηθῆναι D.):— 10. σκευάσ.—Καλλ.] συσκευάσασθαι ἴσως (ἴσως om. D.) :— 12. ΔΙΑΣΕΙ'ΣΤΟΥΣ. ἐοίκασιν ὠνομάσθαι οἱ διάσειστοι παρὰ—ὦσιν :— 13. διασείεσθαι] διασεσεῖσθαι (διασείεσθαι Suidas.) 14. ὦσι :— 15. λέγεται om. 16. γίνονται 17. ἐστὶν om. D. ξένος ὢν παρεγγέγραπται :—

1. τρία ex Epitome pro εἰς τρία.
2. τὸ δὲ τρίτον] δὲ om. A.B.I. Ald.
— τρίτον om. C.
3. Αἰσχίνης] p. 82, 14. Alios oratorum locos indicatos vide in annot. ad Demosth. vol. 5. p. 400.
5. σκεπτέον δὲ τὸ libri. In Epitome est ἐπισκεπτέον δὲ τῷ, unde recepi ἐπισκεπτέον, servato accusativo τό. Dativus aptus foret si ἐπιστῆσαι δεῖ τῷ παρ' Ἰσαίῳ dixisset. Conf. p. 107, 5.
— δὲ (δὲ om. Ald.) τὸ] δ' ἐν τῷ B.C.G. τὲ I.
— τὸ παρ' Ἰσαίῳ] Quod Isæus dixerat ad eum morem pertinuisse, quo inter legenda litis instrumenta aqua retineretur, conjicit Sauppius Fragm. p. 234.
5. Δημοφάνους] δημοσθένους A.B. C. Ald. δημοσθένης I.
6. φησι] Libri φασι. Correctum ex Epitome, quæ φησι post ὕδατος habet.
9. κατὰ om. A.B.C. Ald.
12. Αἰσχίνης] p. 9, 9.
17. παρεγγέγραπται] παραγέγραπται B.C.I.
— Αἰσχίνης] p. 11, 21. 16, 12.
19. τῇ om. B.

Διαμαρτυρία καὶ διαμαρτυρεῖν: τρόπος τις ἦν παραγραφῆς ἡ διαμαρτυρία· πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη ἢ οὐκ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων, ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων. καὶ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυροῦντα εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον· εἰ δὲ μὴ προβάλοιτο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινὰ μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις, ὥσπερ ταῖς μαρτυρίαις· Λυσίας ἐν τῇ πρὸς Ἀριστόδημον διαμαρτυρίᾳ, εἰ γνήσιος ὁ λόγος. Ἰσαῖος δ' ἐν τῷ πρὸς Πύθωνα ἀποστασίου φησὶν ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν ξένους· Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀρι-

1. ἦν ἡ μαρτυρία παραγραφῆς 4. τὴν] τὴν μὲν 6. γε ὁ διώκων προὐβάλλετο 7. πρότερον] πρῶτον ἡ om. D. 9. προβάλοιτο] Sic, vel προβάλλοιτο vel παραβάλλοιτο libri Suidæ. 12. καὶ ταῖς] ταῖς om. D. 13. μαρτυρίαις. τάχα δ' ἐπὶ μὲν ταῖς τοῦ ἀποστασίου δίκαις ἐκεκώλυτο τὸ (τὸ om. D.) διαμαρτυρεῖν, ἐν δὲ ταῖς τοῦ ἀποστασίου οὐκέτι :—

2. γὰρ om. B.

3. ἐξῆν—ἐστιν ἡ δίκη om. A. Q. Ald. Lacunam primus explevit Maussacus ex codice Morelli.

— δίκη] δίκη εἰς τὸ δικαστήριον B. C. G. δίκη ἢ οὐκ εἰσαγώγιμος om. I.

5. καὶ ὑπὸ] ὑπὸ om. N.

6. προβάλλεσθαι] προβαλέσθαι Bekkerus.

8. οὐ πρὸς — πρὸς τὸν διαμαρτυρήσαντα om. I.

9. προβάλοιτο ex Epitome pro προὐβάλλετο, quod προὐβάλετο potius scribendum foret cum Sauppio Fragm. p. 178. προβάλλει N.

11. δίκην :— C.

12. ὥσπερ ταῖς μαρτυρίαις om. B.

14. ὁ λόγος om. I.

— Ἰσαῖος δ' (δ' om. I.) ἐν τῷ πρὸς Πύθωνα ἀποστασίου] Eadem haud dubio oratio est quam ὑπὲρ Πύθωνος ἀποστασίου inscriptam memorat Harpocratio s. v. κλητῆρες, qui alterutro loco memoria lapsus esse videtur, nisi librariorum peccatum subest. Neque enim Isæum credibile est eidem homini et accusando et defendendo in eadem caussa orationes scripsisse: quod animadverterunt Meierus de bonis damn. p. 35, et Sauppius in Fragm. p. 241.

14. ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν ξένους· ἀλλ' Ὑπερείδης ἐν—Sauppius p. 241. Legebatur ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν (ξένῳ addebat Dobræus Advers. vol. 1. p. 506.) οὐσίαν· Ὑπερίδης δ' ἐν—. Vocabulum οὐσίαν in ἀποστασίου mutari voluerat Valesius, quo non videtur opus esse, quum ex præcedente ἀποστασίου intelligi possit, necessario vero ξένοι nominari debebant, ut ex sequentibus verbis apparet. De re ipsa dixit Schoemann. de lite Att. p. 642.

15. Ὑπερείδης] ὁ ὑπερίδης A. P. Ald.

— δ' om. B.

σταγόρας ἀπροστασίου β′ φησὶν ὡς οἱ νόμοι κελεύουσι διαμαρτυρεῖν ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀπροστασίου τὸν βουλόμενον ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων. μήποτ' οὖν ἐν μὲν ταῖς τοῦ ἀποστασίου δίκαις κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τοῦ ἀπροστασίου οὐ κεκώλυνται. Δείναρχος μέντοι τὸ διαμαρτυρῆσαι τέθεικεν οὐκ ἐπὶ τοῦ μαρτυρήσαντος αὐτοῦ, ἀλλ' ἐπὶ τοῦ παρασχόντος τινὰ διαμαρτυρήσαντα ἐν τῇ διαμαρτυρίᾳ περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. οὗτος δὲ ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἡδύλης καὶ τὸν τρόπον διαγράφει τῆς διαμαρτυρίας.

Διαιτηταί: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτων. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

10. ΔΙΑΙΤΗΤΑΙ΄Σ. ἕτεροι παρὰ τοὺς δικαστάς εἰσιν οἱ (οἱ om. D.) διαιτηταί· οἱ μὲν 12. ἀποδεδειγμένοις om. ἀφεσίμους 13. τῶν κρινομένων om. 14. διῄτων] διῄτουν 15. προκλήσεις] προβλήσεις Suidas. 16. τὰς μαρτυρίας] τὰς om. πίστεις] πλείστης E.T., non Suidas. 18. δικῶν :—

P. 94, 15. Ἀρισταγόρας] ἀρισταγόρου A.B.I. Ald. ἀριστογόνου N.

P. 95, 1. ἀπροστασίου] ἀποστασίου B. hic et mox iterum.

— β′] δευτέρῳ Ald. δευτέρου I., om. A.B.N.

3. μὲν post ταῖς B., om. A.

4. διαμαρτυρεῖν—κεκώλυνται om. B.I.Q.

5. μέντοι τὸ διαμαρτυρῆσαι τέθεικεν Bekkerus. Legebatur μέντοι τὸ διαμαρτυρῆσαι τεθεώρηκεν. μέντοι διαμαρτυρήσαντι εἴρηκεν Sauppius Fragm. p. 178.

7. ἐν τῇ διαμαρτυρίᾳ om. I.

8. οὗτος] οὕτως A. οὕτω Ald.

— Ἡδύλης] εἰδύλης A.

10. ΔΙΑΙΤΗΤΑΙ′ Maussacus. Libri διαιτηταῖς, nisi quod διαιτητής A.I. Apud Demosth. p. 542, 18. genitivus est διαιτητῶν.

10. ἐν τῷ om. A.

13. πρότερον κλήρῳ] κλήρῳ πρότερον A. Ald.

— Aut τῶν κρινομένων, quod omittit Epitome, aut, quod probabilius, τοῖς κρινομένοις (τοῖς κληρουμένοις B. C.) delendum videtur. Confundit autem grammaticus arbitros publicos et privatos, quod notavit Westerm. in Actis Societ. litter. Saxonicæ a. 1847. p. 447.

14. διῄτων] Legebatur διῄτουν. Correxi ex Suidæ ed. Mediol.: nam Suidæ codices ipsi quoque διῄτουν præbent.

15. καὶ τὰς μαρτυρίας om. C.

18. ἐν om. I. et Ald.

Διαστῆσαι: *ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι* ˈΑντιφῶν *ἐν τῷ περὶ τῆς μεταστάσεως·* Μένανδρος Χήρᾳ

βοῶν ποιείτω τὴν πόλιν διάστατον.

Διδάσκαλος: *ἰδίως διδασκάλους λέγουσι τοὺς ποιητὰς τῶν διθυράμβων ἢ τῶν κωμῳδιῶν ἢ τῶν τραγῳδιῶν.* ˈΑντιφῶν *ἐν τῷ περὶ τοῦ χορευτοῦ "ἔλαχον" φησὶ "*Πανтακλέα *διδάσκαλον·" ὅτι γὰρ ὁ* Πανтακλῆς *ποιητής, δεδήλωκεν* ˈΑριστοτέλης *ἐν ταῖς* Διδασκαλίαις. *πολὺ δ' ἐστὶ κἀν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου.*

Διεγγύησιν: *ἀντὶ τοῦ κατάστασιν ἐγγυητῶν* Δημοσθένης *κατὰ* Τιμοκράτους. *ἐν δὲ τῷ κατὰ* Νεαίρας, *εἰ γνήσιος ὁ λόγος, φησὶ "διεγγυηθεῖσα ὑπὸ τοῦ* Στεφάνου."

Διεκωδώνισε: Δημοσθένης *ἐν τῷ περὶ τῆς πρεσβείας ἀντὶ τοῦ διεπείρασε καὶ ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἤτοι ἀπὸ τῶν περιπολούντων σὺν κώδωσι νυκτὸς τὰς φυλακάς, ὡς* Εὐριπίδης Παλαμήδει, *ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος, ὡς* ˈΑρίσταρχος.

Δι' ἐνιαυτοῦ: *ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ* ˈΑντιφῶν *περὶ τοῦ* Λινδίων *φόρου.* Τηλεκλείδης *δ' ἐν τοῖς* Πρυτάνεσι δι' ἡμέρας *εἶπεν ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας.*

Διεσπευσάμην: *ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην, ἢ ἀντὶ τοῦ διεπραξάμην* ˈΙσαῖος *ἐν τῷ πρὸς* ˈˈΕρμωνα *περὶ ἐγγύης.*

1. *ποιῆσαι* :— 4. ΔΙΔΑ'ΣΚΑΛΟΣ] *διδάσκαλον* 5. *τραγῳδῶν* :— 10. *Δημοσθένης* :— 13. *Δημ.—πρ.* om. 14. *ἤτοι*] *ἢ* 15. *σὺν*] *τοῖς* *ὡς* Ε. Π. om. 16. *τοὺς*] *τὰς* (*τοὺς* Suidas) 17. *ὡς* ˈ*Αρ.* om. 18. *δι' ὅλου τοῦ ἐνιαυτοῦ καὶ δι' ἡμέρας ἀντὶ τοῦ δι' ὅλης* (*τῆς* addit D. et Suidas) *ἡμέρας* :— 22. *διεπραξάμην* :—

2. *τῆς* om. B.C.
3. *ποιείτω*] *ποιήτω* C.
— *διάστατον* Maussacus. Libri *διαστατῶν*.
5. ˈ*Αντιφῶν*] p. 142, 31.
— *τοῦ* om. B.C.
6. *Παντακλέα—Παντακλῆς*] *πεντακλέα—πεντακλῆς* A. Ald. Pantaclem hunc dicere videtur Steph. Byz. s. v. ˈ*Ατήνη* loco defecto, de quo v. Meinek.
7. *Διδασκαλίαις*] *πολιτείαις* A., sed altero superscripto.
10. *Δημοσθένης*] p. 724, 6.
11. *κατὰ Νεαίρας*] p. 1358. extr.
— *φησὶ* om. I.
12. *διεγγυηθεῖσα*] *ἐγγυηθεῖσα* libri, nisi quod *ἐγγυηθεῖσαν* est in I. Correctum ex Demosthene.
— *τοῦ* om. I.
13. *Δημοσθένης*] p. 393, 17.
— *πρεσβείας*] *παραπρεσβείας* Ald.
15. Addidi *ὡς* ante *Εὐριπίδης*.
16. *δοκιμαζόντων*] *διωκόντων* B.C.G.
— *τοὺς*] *τὰς* A.B. Ald.
19. *Λινδίων*] *λινδῶν* A.B.I.N. Ald.
— *τοῖς Πρυτάνεσι* Maussacus. Libri *τῷ πρυτανείῳ*.
20. *ἢ ἀντὶ τοῦ*] *ἀντὶ τοῦ* om. C.
22. Verba *περὶ ἐγγύης* hic omissa in gl. proxima post ˈ*Ισοκράτης* ˈ*Αρεο-*

Διεσκαριφησάμεθα: Ἰσοκράτης Ἀρεοπαγιτικῷ. σκαριφήσασθαί ἐστι τὸ ἐπισεσυρμένως τι ποιεῖν καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

Διετείναντο: ἰδίως Ἀντιφῶν τοῦτ' ἔταξεν ἐν τῷ περὶ τοῦ Ἡρώδου φόνου, ἀντὶ τοῦ διὰ συντόνου σπουδῆς ἀπηρνήσαντο.

Διήλλαξεν: ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησεν, Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας.

Διῆρξα: ἀντὶ τοῦ διὰ τέλους ἦρξα Λυσίας ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφὴν ἀπολογίᾳ.

Διιπόλεια: ἑορτή τις Ἀθήνησι τὰ Διιπόλεια· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ χορευτοῦ.

Δικαιογένης: τραγῳδίας οὗτος ποιητής. καὶ διθυράμβους ἔγραψε.

Δικαιόπολις: Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. πόλις ἐν τῇ Θρᾴκῃ πλησίον Ἀβδήρων. τυχὸν δὲ καὶ ἑτέρα τίς ἐστι Δικαιόπολις.

1. ΔΙΕΣΚΑΡΙΦΙΣΑ'ΜΕΘΑ. σκαριφίσασθαι (Recte per η apud Suidam) omisso Ἰσοκράτης Ἀ. 4. ΔΙΕΤΕΙ'ΝΟΝΤΟ. ἰδίως Ἀντιφῶν ἀντὶ 6. ἐτελεύτησεν :— 8. Λυσίας :— 10. τὰ Διιπόλεια :— 12. ΔΙΚΑΙΟΓΕ'ΝΗΣ. ὄνομα κύριον, ὃς τραγῳδίας καὶ διθυράμβους ἔγραψε :— 14. Λυσίας—γνήσιος om. 15. τῇ om. Ἀβδήρων] Αὐδήρων :—

παγιτικῷ habet Ald. Suo in loco habent codices, qui hæc cum proxima glossa conjungunt hoc modo, περὶ ἐγγύης δὲ ἐσκαριφησάμεθα, ut scriptum in A.B.I. ex quo in N. factum περὶ ἐγγύης δὲ ἀντὶ τοῦ ἐσκαριφησάμεθα.

1. Hanc gl. Ald. sic interpolavit ex Suida, διεσκαριφησάμεθα, ἀντὶ τοῦ διελύσαμεν. σκάριφον γάρ ἐστὶ τὸ κάρφος καὶ φρίγανον (sic). ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα. Tum ponit Harpocrationis verba, Ἰσοκράτης Ἀρεοπαγητικῷ, περὶ ἐγγύης δὲ διεσκαριφησάμεθα. σκαριφήσασθαι γάρ ἐστι τῷ—προσήκουσαν ἀκρίβειαν.

— Ἰσοκράτης] p. 142 b.

— σκαριφήσασθαι Epitome. ἐσκαριφήσασθαι A.B.N. διεσκαριφήσασθαι C. qui ἐστι omittit.

4. ΔΙΕΤΕΙ'ΝΑΝΤΟ] Libri διετείνοντο. Correctum ex Antiphonte p. 134, 41.

4. τοῦτ' ἔταξεν] ἔταξε τοῦτο A.

8. ΔΙΗ'ΡΞΑ] Ex Lysia memorat etiam Pollux 8, 83.

10. ΔΙΙΠΟ'ΛΕΙΑ utrobique Epitome cum B.I.N. et, qui διηπόλεια, C. Ceteri Διιπόλια. Vetus Attica forma est quadrisyllaba Διπόλεια, prima syllaba producta: de quo dixi in Thesauro.

— ἑορτή τις] ἦν vulgo additum om. B.C.G. et Epitome: post Ἀθήνησι habet I.

— Ἀντιφῶν ἐν τῷ περὶ τοῦ (τοῦ om. C.) χορευτοῦ] Non in hac oratione, sed in alia p. 120, 10.

12.—16. om. C.

15. πόλις ἐν τῇ Θρᾴκῃ] Quæ ab aliis vel Δίκαια simpliciter vel Δίκαια παρ' Ἄβδηρα dicitur. ἑτέρα τις vero quam Harpocratio dicit est Eretriæ, quæ ipsa quoque Δίκαια di-

Δικαίωσις: Λυσίας ἐν τῷ ὑπὲρ τοῦ στρατιώτου, εἰ γνήσιος, καὶ μάλα τὰς δικαιώσεις φησὶν ἀντὶ τοῦ δικαιολογίας. ὁ μέντοι Θουκυδίδης πολλάκις τὴν δικαίωσιν ἐπὶ τῆς κολάσεως τάττει.

Δίκη: σημαίνει μὲν καὶ ἄλλα τὸ ὄνομα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων, ὡς σαφὲς ποιεῖ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος.

Διοικιεῖν: ἀντὶ τοῦ διαιρήσειν, ὥστε μὴ ἐν ταὐτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς καὶ κατὰ μέρος, Δημοσθένης ἐν ε' Φιλιππικῶν.

Διοπεύων: Δημοσθένης ἐν τῷ κατὰ Λακρίτου. δίοπος λέγεται νεὼς ὁ διέπων καὶ ἐποπτεύων τὰ κατὰ τὴν ναῦν, ὁ καθ' ἡμᾶς λεγόμενος ἐπίπλους.

Διότιμος: ὄνομα κύριον, ναύαρχος Ἀθηναίων.

Διόφαντος: ὄνομα κύριον.

Διωλύγιον: Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα "πράγματα διωλύγια" ἀντὶ τοῦ μεγάλα. καὶ Πλάτων.

Διωμοσία: κυρίως ἡ παρὰ τῶν διαδικαζομένων· Δημοσθένης κατ' Ἀριστοκράτους.

1. ΔΙΚΑΙ'ΩΣΙΣ. Λυσίας τὰς δικαιολογίας, Θουκυδίδης δὲ τὰς κολάσεις λέγει:— 4. τὸ ὄνομα om. ἰδίως δὲ ἐπὶ τῶν ἰ. ἐ. (ἐ. ἰ. D.) λέγεται, ὡς Δημ. ἐν τῷ κ. K. δῆλον ποιεῖ:— 8. μέρος (μόνας Suidas):— 9. ΔΙΟΠΤΕΥ'ΩΝ. δίοπος (δίοπτος D.) λέγεται ὁ διέπων καὶ ἐποπτεύων:—(διοπτεύων et λέγεται om. Suidas) 12, 13. ΔΙΟ'ΤΙΜΟΣ. ὄνομα κύριον, καὶ Διόφαντος ὁμοίως:— 14. ΔΙΩΛΥ'ΓΙΟΝ τὸ μέγα Ἰσαῖος (Isæi nomen om. Suidas, qui hanc glossam aliunde auctam habet) καὶ Πλάτων:— 15, 16. om. E.T., habet D.

citur, vel adjectivo gentili Δικαιοπολῖται, οἱ, significatur. De utraque dixit Boeckh. Œcon. vol. 2. p. 682. 683.

P. 97, 15. Ἀβδήρων] αὐδήρων A. B.I. Ald. cum Epitome.

P. 98, 1. Λυσίας] p. 115, 5.

— ὑπὲρ Valesius. Libri περί.

— τοῦ additum ex B.C.

2. ἀντὶ τοῦ] ἀντὶ τοῦ τὰς N.

4. ΔΙ'ΚΗ] κρίσις addidit Suidas aliunde.

— τὸ ὄνομα] τοὔνομα I.N.

5. ὡς ex Epitome restitui pro ὅ. Sic s. v. ἀγυιᾶς dixit ὡς σαφὲς ποιοῦσιν Ἀριστοφάνης καὶ Εὔπολις.

— Δημοσθένης] p. 1256.

7. ΔΙΟΙΚΙΕΙ'Ν] διοικεῖν B.C.

8. Δημοσθένης] p. 59, 15.

— ἐν ε' Φιλιππικῶν] ἐν φιλιππικῷ A. Ald.

9. ΔΙΟΠΕΥ'ΩΝ Toupius. Libri διοπτεύων, de quo v. quæ dixi in annot. critica ad locum Demosthenis qui est p. 929, 20. (in testimonii formula,) ubi libri pariter consentiunt in vitioso διοπτεύων.

— δίοπος] δίοπτος B.C.G. δίοπρος N.

12. 13. om. C.

12. κύριον om. B.I.

15. Πλάτων] Theæt. p. 162 a. Leg. 10. p. 890 e.

16. διαδικαζομένων] δικαζομένων B.C.

— Δημοσθένης] p. 643, 3. Δη-

Δοκιμασθείς: ἀντὶ τοῦ εἰς ἄνδρας ἐγγραφείς Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀρχόντων τὸ δοκιμασθῆναι, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει δηλοῖ. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων, εἰ καὶ μηδ' ἡντιναοῦν ἦρχον ἀρχήν· ἐξητάζετο γὰρ αὐτῶν ὁ βίος ἐνίοτε, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου φησίν. Λυκοῦργος δ' ἐν τῷ περὶ τῆς διοικήσεως "γ' δοκιμασίαι κατὰ "τὸν νόμον" φησὶ "γίνονται, μία μὲν ἣν οἱ θ' ἄρχοντες δοκιμάζονται, "ἑτέρα δὲ ἣν οἱ ῥήτορες, τρίτη δὲ ἣν οἱ στρατηγοί." λέγει μέντοι ἐν τῷ αὐτῷ λόγῳ καὶ ἱππέων δοκιμασίαν.

Δορίσκος: χωρίον τῆς Θρᾴκης· Δημοσθένης ὑπὲρ Κτησιφῶντος καὶ Ἡρόδοτος.

Δόσις: ἰδίως λέγεται παρὰ τοῖς ῥήτορσι συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὑτοῦ διδῷ τινὶ διὰ τῶν ἀρχόντων, ὡς παρὰ Δεινάρχῳ.

Δρακοντίδης: εἷς τῶν λ'· Ὑπερείδης.

Δράκων: οὗτος ἐπιφανέστατος νομοθέτης, ὡς Αἰσχίνης. ἕτερος δ' ἐστὶ Δράκων οὗ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ μέμνηται.

1. ΔΟΚΙΜΑΣΤΗ'Σ (δοκιμασθεὶς D. et Suidas) Δημοσθένης μὲν ἀντὶ τοῦ εἰς ἄνδρας ἐγγραφείς. λέγει γὰρ (δὲ D.) καὶ ἐπὶ τῶν ἀ. τὸ δοκιμασθῆναι. ἐλέγετο γὰρ καὶ 3. δὲ] γὰρ (δὲ Suidas). 4. πολιτευομένων (ἀρχόντων D.)] addit τὸ δοκιμασθῆναι ἥντινα ἦρχον ἀρχήν. ἐνίοτε δὲ καὶ αὐτῶν ἐξητάζετο βίος (ὁ βίος Suidas). Λυκοῦργος δὲ γ̄ δοκιμασίας φησὶν κατὰ τὸν νόμον γίνεσθαι. καὶ γὰρ μία μέν ἐστιν ἣν οἱ θ̄ (numerum θ̄ om. D. in lacuna) ἄρχοντες δ., ἄλλη δὲ— 8. μέντοι] δὲ E.T. δὲ καὶ D. 10. χωρίον Θρᾳκικόν:— 13. διαδῷ διὰ τῶν ἀρχόντων:— 14. Ὑπερείδης om. 16. ΔΡΑ'ΚΩΝ. ἐπιφανέστατος γέγονε νομοθετῶν:— (De hoc Suidas copiosius aliunde.)

μοσθένης om. C. Δημοσθένης—ἐγγραφεὶς om. B.

1. ἀντὶ] μὲν addit N.

— Δημοσθένης] p. 814, 20. ubi est δοκιμασθείην.

2. καὶ om. B.C.

— τὸ additum ex Epitome.

3. ὁ αὐτὸς (αὐτὸς ὁ A.B.C.I.N.) ῥήτωρ] p. 1306,14.

4. καί om. C.

— εἰ καὶ ex Epitome pro κἄν.

— ἦρχον ἀρχήν ex Epitome pro ἀρχὴν ἦρχον (εἶχον B.C.G. εἶρχον I.)

5. Αἰσχίνης] p. 1, 9.

6. τῆς om. C.

8. ἑτέρα δὲ] δὲ om. B.

10. 11. om. C.

10. Δημοσθένης] p. 390, 2.

11. καὶ om. A.B.

— Ἡρόδοτος] ϛ̄ addit A., ζ̄ B., ξο N. Locus est 5, 98.

12. ἰδίως] μὲν addit Ald., om. codices.

13. Δεινάρχῳ] τῷ δεινάρχῳ I.

14. Ὑπερείδης] Videtur excidisse orationis titulus, qui haud dubie fuit ἐν τῷ κατ' Αὐτοκλέους, ex qua Melobius, qui ipse quoque inter triginta tyrannos fuit, memoratur s. v. Μηλόβιος: quem locum comparavit Kiesslingius.

15. Αἰσχίνης] p. 1, 32.

16. Ἰσοκράτης] p. 70 d.

— τῷ om. I.

Δρογγίλον: Θρᾳκικὸν χωρίον· Δημοσθένης Φιλιππικοῖς.

Δρομοκήρυκες: Αἰσχίνης. οἱ λεγόμενοι ἡμεροδρόμοι.

Δρυμός: πόλις μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς· Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας. Ἀριστοτέλης δ᾽ ἐν τοῖς δικαιώμασί φησιν οὕτως "ἔπειτα Δρυμὸν ἕνα Ἀττικὸν καὶ ἕτερον Βοιώτιον."

Δρῦς: Δημοσθένης κατ᾽ Ἀριστοκράτους. πόλις ἐν Ἠπείρῳ. ἔστι δὲ καὶ ἑτέρα ἐν Θρᾴκῃ, ἧς νῦν ὁ ῥήτωρ μνημονεύει· ταύτην Θεόπομπος ἐν κϛʹ φησὶν ὑπὸ Ἰφικράτους κατοικισθῆναι.

Δυσάνιος: Ἀντιφῶν. ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. καὶ Ἱπποκράτης ἐχρήσατό που τῷ ὀνόματι καὶ Μένανδρος.

Δυσαύλης: Δείναρχος ἐν τῇ τῆς ἱερείας διαδικασίᾳ, εἰ γνήσιος. Ἀσκληπιάδης δ᾽ ἐν δʹ Τραγῳδουμένων τὸν Δυσαύλην αὐτόχθονα εἶναί φησι, συνοικήσαντα δὲ Βαυβοῖ σχεῖν παῖδας Πρωτονόην τε καὶ

1. ΔΡΟΓΓΙ΄ΛΩΝ (δρογγιλον D. Δρογγίλον Suidas) χωρίον (χωρίων D.) Θρᾳκικόν :— 2. Αἰσχ. οἱ λεγόμενοι om. E.T., solum Αἰσχίνης om. D. Totam glossam om. Suidas, substituta alia. 3. ΔΡΥΜΟ΄Σ. ἐν τῷ παραπρεσβείας Δημοσθένης. πόλις ἐστὶν μεταξὺ Β. καὶ τῆς Ἀττικῆς :— 6. ΔΡΥ῀Σ. ἔστι μὲν πόλις ἐν Ἠπείρῳ, ἔστι δὲ καὶ ἑτέρα ἐν Θρᾴκῃ :— 9. ΔΥΣΑ΄ΝΙΟΣ] δυσάνισος 12. ΔΥΣΑΥ΄ΛΗΣ. οὗτος αὐτόχθων μὲν ἦν, συνῴκησε δὲ Βαυβοῖ (Βαβοῖ Suidas) καὶ ἔσχεν παῖδας Πρωτονόην τε καὶ Νῆσαν (νήσ̅ Suidæ codex Paris. A.) :—

1. Δημοσθένης] p. 100, 22.

2. ΔΡΟΜΟΚΗ΄ΡΥΚΕΣ] δημοκήρυκες A., ut apud Æschinem p. 45, 20. in libris quibusdam scriptum.

3. Δημοσθένης] p. 446, 2.

5. Δρυμὸν] δρομῶν (ον) I.

— ἕνα] Libri ἓν, nisi quod ἂν A. Ald., ἂν I. Correxi ἕνα, de quo dixi in Thesauro vol. 2. 1691. Verba ipsa non de duabus urbibus, sed de una urbe in duas partes ita divisa ut alteram Bœoti, alteram Athenienses sibi vindicaverint, intelligenda esse Mueller. Fragm. Hist. vol. 2. p. 181. colligit e loco Demosthenis.

6. ΔΡΥ῀Σ] δρίσων Ald.

— Δημοσθένης] p. 664, 2.

7. μνημονεύει ὁ ῥήτωρ νῦν A.

8. κατοικισθῆναι] καταδικασθῆναι B. C.

9. Ἀντιφῶν om. A.B.C.I. Ald.

— παντὶ] πάντων B.I.

10. ᾖ] ἦν C.

— Ἱπποκράτης] p. 1108. Vide quæ de hoc v. dicta sunt in Thesauro vol. 2. p. 1725. Critiæ de eo sententiam exponit Galen. vol. 9. p. 305.

— τῷ] τούτῳ τῷ B.

12. τῇ] τῷ A. Ald.

— τῆς Sauppius Fragm. p. 334. Legebatur περὶ τῆς. Recta orationis inscriptio est apud Polluc. 7, 69.

13. δ᾽ om. B.

τὸν Δυσαύλην] De Dysaule et Baubo videndi quos Sauppius citavit Lobeck. Ag. p. 823. et Preller. de Cerere et Proserpina p. 134.

14. φησι om. A.B.C.I.

— Βαυβοῖ] βαβοῖ A. Ald.

— τε om. A.

Νῖσαν. Παλαίφατος δ' ἐν θ' Τρωϊκῶν σὺν τῇ γυναικί φησιν αὐτὸν ὑποδέξασθαι τὴν Δήμητρα.

Δυσωπoῦμαι: ἀντὶ τοῦ φοβοῦμαι Δημοσθένης Φιλιππικοῖς καὶ Ξενοφῶν ἐν β' Ἀπομνημονευμάτων.

Δωριεὺς: ὄνομα παγκρατιαστοῦ.

Δωροξενία: Λυσίας ἐν τῷ κατὰ Νικίδου. ἐξηγήσατο τοὔνομα Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας οὕτω γράφων· "ἐπεὶ καὶ ὁ τῆς "δωροξενίας νόμος ἁρμόττων ἐστὶ τῷ νῦν ἀγῶνι παραχθῆναι· εἰ γὰρ "καὶ τοὺς ἀποφυγόντας ξενίας εἴρηκεν ἐξεῖναι τῷ βουλομένῳ πάλιν "γράψασθαι, ἐὰν μὴ δοκῶσι δικαίως τὸ πρῶτον ἀποπεφευγέναι, πῶς "οὐ φανερόν ἐστι κατ' Ἀρισταγόρας τὸ δίκαιον;" καὶ Ἀριστοτέλης

3. ΔΥΣΩΠΟΥ͂ΜΑΙ. Δημοσθένης ἐν Φιλιππικοῖς καὶ Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν ἀντὶ τοῦ φοβοῦμαι:— 5. Δ. ὄνομα π. om. 6. ΔΩΡΟΞΕΝΙ΄Α. ὅταν τις γραφῇ (γραφῆς vel γραφεὶς Suidæ codices; ὅταν εἰσγραφῇ Z.) ξενίας καὶ δῶρα δοὺς ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται:— idque post Δώρων γραφή.

1. Νῖσαν] Scribebatur Νίσαν (κνίσαν B.) Accentus correctus ex Epitome, quæ Νῆσαν. Nomen aliunde non cognitum suspectum habet Mueller. Fragm. Hist. vol. 2. p. 339. qui Μίσαν vel Μίσην restitui voluit collata Hesychii glossa, Μισατίς: Μίσης τῶν περὶ τὴν μητέρα (Δήμητρα Schneiderus) τις, ἣν καὶ ὀμνύουσιν. quod nomen ex Μίση corruptum esse patet ex Hymno Orphico 41., Μίσης θυμίαμα στύρακα inscripto, in quo est, Θεσμοφόρον καλέω ναρθηκοφόρον Διόνυσον—ἁγνήν τ' εὐΐερόν τε Μίσην, ἄρρητον ἄνασσαν. Alio vitio Μίσμη apud Antonin. Lib. c. 24.

— θ'] πρώτῃ A. πρώτῳ Ald.

2. Δήμητρα C.G. Scribebatur Δήμητραν.

3. Δημοσθένης] p. 127, 25.

— καὶ om. C.

4. β'] δευτέρᾳ C. Est c. 1, 4.

5. om. C.

6. Νικίδου A. I. Ald. νικήδου B. Ceteri Νικίου. Vid. Saupp. Fragm. p. 200.

7. et 11. Ἀρισταγόρας] Codices plerique et Ald. ἀρισταγόρου, ut alibi sæpe apud Harpocrationem.

8. ἐστὶ] ἐπὶ A.

9. ξενίας om. C.

— εἴρηκεν] ἕνεκεν B.C.

11. Ἀριστοτέλης] Aristotelis verbis Harpocratio utitur iterum s. v. παράστασις, ubi pro eo quod hic est ἀποφύγῃ τὴν συκοφαντίαν legitur ἀποφύγῃ τὴν ξενίαν, et accuratius quidem, ut apparet e Lexico rhet. Cantabr. p. 674. ubi Aristotelis locus integer affertur, Ξενίας γραφή· καὶ δωροξενίας: διαφέρει· Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ, περὶ τῶν θεσμοθετῶν διαλεγόμενος "εἰσὶ δὲ "καὶ γραφαὶ περὶ αὐτοὺς, ὧν περιστά- "σεις (corr. παράστασις) τίθεται, ξε- "νίας καὶ δωροξενίας· ξενίας μὲν ἐάν "τις κατηγορῆται ξένος εἶναι· δωροξε- "νίας δὲ ἐάν τις δῶρα διδοὺς ἀποφύγῃ "τὴν ξενίαν." Apparet ex his Harpocrationem Aristotelis verba in brevius contraxisse: nam ut librariorum culpa excidisse putemus quæ desiderantur duorum locorum in eandem scripturam consensus dissuadet. Quod priore in loco legitur συκοφαντίαν Harpocratio ipse pro ξενίαν videtur substituisse.

δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταυτί· "εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται, ξενίας "καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν."

Δώρων γραφή: ὁπότε τις αἰτίαν ἔχοι τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ' αὐτοῦ διχῶς ἐλέγετο, δωροδοκία τε καὶ δώρων γραφή. Δείναρχος οὖν λόγον μέν τινα ἐπέγραψε κατὰ Πολυεύκτου δωροδοκίας, ἐν δὲ τῷ κατὰ Πυθέου ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν.

E.

Ἐάν τις γραψάμενος μὴ μεταλάβῃ τὸ ε' μέρος τῶν ψήφων, ὀφλισκάνει χιλίας καὶ πρόσεστιν ἀτιμία τις. Λυσίας ἐν τῷ ὑπὲρ τοῦ κατὰ τῶν ῥητόρων νόμου διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν τοῖς περὶ τῶν νόμων.

Ἑβδομευομένου: Λυσίας ἐν τῷ πρὸς Ἐτεοκλέα περὶ χρημάτων, εἰ γνήσιος. τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδόμας καὶ τὰς δεκάτας ἦγον, καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ ἑβδόμῃ,

4. ΔΩΡΟΓΡΑΦΗ'. ὅταν τις αἰτίαν (αἰτίας D.) ἔχοι (ἔχῃ D: utrumque in Suidæ codicibus) 5. διχῇ 6. δώρων γραφή (δωρογραφή D.):— 10. τὸ ἓν μέρος τῆς ψήφου 11. τις. τοῦτο Θεόφραστος ἐν τοῖς περὶ τὸν νόμον (τῶν νόμων D.) λεπτομερῶς διασαφεῖ:— Totam gl., quæ in Ald. præcedenti est adjuncta, omisit Suidas. 14. 'ΕΒΔΟΜΕΥΟ'ΜΕΝΑ. τοῖς ἀποτεχθ.— ἑβδόμῃ, οἱ δὲ τῇ δεκάτῃ:—

Nam quod Sauppio Fragm. p. 279. videbatur ex Epitome illatum esse non poterit credi, nisi quis certioribus exemplis ostenderit operis integri codices usquam esse ex Epitome interpolatos.

2. παράστασις] παραστάσεις C.

— τίθεται] γίνεται N.

4. ἔχοι] ἔχῃ B. ἔχει A.C. Ald.

5. αὐτοῦ] αὐτοὺς A. Ald.

— δωροδοκία] δωροδοκίας Meierus de lite Att. p. 111.

6. οὖν] οὖν καὶ B. μὲν καὶ (omisso proximo μὲν) C.G. γοῦν Bekkerus.

— ἐπέγραψε] ἐπεγράφετο C.

7. Πυθέου] πυθίου C.

10. E'A'N ΤΙΣ] Præfixum in libris ἰστέον ὅτι, quod recte abest ab Epitome.

11. ὑπὲρ τοῦ addidit Sauppius Fragm. p. 185. addideratque, etsi deleto quod servare debebat ἐν τῷ, Valesius. Plena orationis inscriptio fuit πρὸς Διοκλέα ὑπὲρ τοῦ κατὰ τῶν ῥητόρων νόμου, servata ab Theone in Walzii Rhet. vol. 1. p. 166.

12. κ. τῶν ῥ. νόμου] κ. ῥ. νόμῳ B.C.

— καὶ om. B.C.

— Θεόφραστος] Ipsa Theophrasti verba apposuit schol. Demosth. vol. 9. p 665, 1.

15. ἑβδόμας Dobræus. Legebatur ἑβδομάδας, in quo consentit Etym. M. p. 308, 40. qui hanc gl. ex Epitome excerpsit addito in fine "ἐκ τοῦ ῥητορικοῦ."

16. δεκάτας] δεκάδας C.G. et Etym. quod necessarium foret, si recte legeretur ἑβδομάδας.

ὡς καὶ ὁ ῥήτωρ λέγει, οἱ δὲ τῇ δεκάτῃ. Ἀριστοτέλης δ' ἐν θ' περὶ ζῴων ἱστορίας γράφει ταυτί· "τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς "ἑβδόμης, διὸ καὶ τὰ ὀνόματα τότε τίθενται ὡς πιστεύοντες ἤδη τῇ "σωτηρίᾳ."

Ἐγγυθήκη: φέρεταί τις λόγος ὡς Λυσίου ἐπιγραφόμενος 'περὶ 'τῆς ἐγγυθήκης.' εἴη δ' ἂν σκεῦός τι πρὸς τὸ κρατῆρας ἢ λέβητας ἤ τι τούτων οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον, ὡς Καλλίξενός τε ἐν δ' περὶ Ἀλεξανδρείας ὑποσημαίνει καὶ Δαΐμαχος ὁ Πλαταιεὺς ἐν β' περὶ Ἰνδικῆς.

Ἑδωλιάσαι: Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ 'ἀπολογισμὸς ὧν 'πεπολίτευται' ἐπὶ τοῦ συγκαθίσαι. καὶ ἑδώλια αἱ ἐν ταῖς ναυσὶ καθέδραι· Ἡρόδοτος α'.

Ἔθνος: οὐ μόνον τὸ μέγα καὶ πολυάνθρωπον γένος, ἀλλὰ καὶ ἰδίως μέρος τι τῆς πόλεως. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους, "εἴ τις ὑμᾶς ἔροιτο τί πονηρότατον νομίζετε τῶν ἐν τῇ πόλει πάν-"των ἐθνῶν, οὔτε τοὺς γεωργοὺς οὔτε τοὺς ἐμπόρους οὔτε τοὺς ἐκ "τῶν ἀργυρείων οὔτε τῶν τοιούτων οὐδὲν ἂν εἴποιτε." ἐν δὲ τῷ θ' Φι-

5. ἘΓΓΥΘΗ'ΚΗ. σκεῦός τι—ἐπιτήδειον εἶναι:— 7. τούτων] τοιοῦτον 10. Λυκ.—πεπολίτευται om. 11. ἐπὶ] ἀντὶ συγκαθῆσαι E.T. συγκαθῆσαι D. De hac gl. Suidas nihil habet præter ἑδωλιάσαι, συγκαθίσαι, sed aliam pleniorem adjunxit aliunde sumtam. καὶ ἑδόλια (sic) αἱ ἐν ταῖς νησοὶ καθέδραι:— 14. Δημ.] οὕτως Δημοσθένης Ἀριστοκράτην (Ἀριστοκράτους Suidas; verba ἐν τῷ κατ' Ἀριστοκράτους om. D.) καὶ ἐν τῷ ἐννάτῳ (τῇ θ' Suidas) τῶν Φιλιππικῶν:—

1. περὶ ζῴων] περὶ τῆς τῶν ζῴων B.C.

—ἐν θ' περὶ ζῴων ἱστορίας] Imo ζ'. Nam est 7, 12. p. 588, 8. ed. Bekk.

6. ἤ τι] ἤτοι Ald.

7. ἐπιτήδειον Sauppius Fragm. p. 186. Legebatur ἐπιτήδειον εἶναι.

— Καλλίξενος] Vid. Athen. 5. p. 210 A.

8. δ'] α^ω C. Recte habere numerum δ' constat ex Athenæo 5. p. 196 a.

— ὑποσημαίνει] ἀποσημαίνει C.

10. ἘΔΩΛΙΑ'ΣΑΙ] Paullo plura de hoc verbo dixerunt Lex. rhet. p. 259, 32. et Etym. M. p. 317, 7. 12.

11. συγκαθίσαι] καθέζεσθαι A.B.C. Ald.

11. ἘΔΩ'ΛΙΑ] ἑδωλίαι A.C. Ald.

12. Ἡρόδοτος] 1, 24.

— α'] πρώτῳ Ald. α^η C.

13. πολυάνθρωπον] πολυάριθμον C. G. et corr. B.

14. τῆς πόλεως—Ἀριστοκράτους ex Epitome et εἴ τις ἔροιτο ex Demosthene addita ab Valesio absunt a codicibus, vetere librario a priore τι ad alterum τί aberrante.

— Δημοσθένης] p. 668.

15. νομίζετε correctum ex Demosthene pro νομίζεται.

16. οὔτε τοὺς ἐκ—εἴποιτε om. A. B. Ald. Eadem verba reliquamque glossæ partem om. C.

17. θ' Φιλιππικῷ (φιλιππικῶν B.)] p. 117 extr.

λιππικῷ φησὶν "ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ τὰς πόλεις καὶ "τὰς πολιτείας αὐτῶν ἀφῄρηται καὶ τετραδαρχίας κατέστησε παρ' "αὐτοῖς, ἵνα μὴ μόνον κατὰ πόλεις ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύ-"ωσιν;"

Εἱλωτεύειν: τὸ δουλεύειν Ἰσοκράτης Πανηγυρικῷ· εἵλωτες γὰρ οἱ μὴ γόνῳ δοῦλοι Λακεδαιμονίων, ἀλλ' οἱ πρῶτοι χειρωθέντες τῶν Ἕλος τὴν πόλιν οἰκούντων, ὡς ἄλλοι τε πολλοὶ μαρτυροῦσι καὶ Ἑλλάνικος ἐν τῇ α'.

Εἰσαγγελία: δημοσίας τινὸς δίκης ὄνομά ἐστι, τρία δ' ἐστὶν εἴδη εἰσαγγελιῶν. ἡ μὲν γὰρ ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις, καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς τὴν βουλὴν ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις γίνεται, καὶ ἐφ' οἷς τῷ μὲν φεύγοντι, ἐὰν ἁλῷ, μέγισται ζημίαι ἐπίκεινται, ὁ δὲ διώκων, ἐὰν μὴ ἕλῃ, οὐδὲν ζημιοῦται, πλὴν ἐὰν τὸ ε' μέρος τῶν ψήφων μὴ μεταλάβῃ· τότε γὰρ χιλίας ἐκτίνει· τὸ δὲ παλαιὸν καὶ οὗτοι μειζόνως ἐκολάζοντο. ἑτέρα δὲ εἰσαγγελία λέγεται ἐπὶ ταῖς κακώσεσιν· αὗται δ' εἰσὶ πρὸς τὸν ἄρχοντα, καὶ τῷ διώκοντι ἀζήμιοι, κἂν μὴ μεταλάβῃ τὸ ε' μέρος τῶν ψήφων. ἄλλη δὲ εἰσαγγελία ἐστὶ κατὰ τῶν διαιτητῶν· εἰ γάρ τις ὑπὸ διαιτητοῦ ἀδικηθείη, ἐξῆν τοῦτον εἰσαγγέλλειν πρὸς τοὺς δικαστάς, καὶ ἁλοὺς ἠτιμοῦτο. Ἰσαῖος μέντοι περὶ τοῦ Ἁγνίου κλήρου τὸ αὐτὸ πρᾶγμα εἰσαγγελίαν καὶ γραφὴν ὠνόμασεν.

5. ΕΙ'ΛΩΤΕΥ'ΕΙΝ. *δουλεύειν.* (*εἱλωτεύειν, δουλεύειν* om. D.) *εἵλοτες* (*εἵλωτες* Suidas) *γὰρ—οἰκούντων*:— 9. *δημοσίας*] *δημοσίου* Suidas. *τινὸς* et *ἐστι* om. 10. *γὰρ* om. 11. *καταδεχομένοις* E.T. *ἐπιδεχόμενος* D. 16. *ἐκτίνει*] *ἐκτείνει* E.T.D. *τὸ δὲ παλαιὸν—μέρος τῶν ψήφων* omittit D. solus. In E.T. hæc verba separatam glossam efficiunt, duobus punctis cum lineola post *ἐκτείνει* et rursus post *μέρος τῶν ψήφων* positis. 20. *διαιτητοῦ*] *τοῦ διαιτητοῦ* D. *ἀδικηθεῖ* E.T. Hoc est *ἀδικηθῇ*, quod legitur apud Suidam. In D. corruptum in *διακυθῇ*. 22. *Ἁγνίου*] *αὐτοῦ*

1. *οὐχὶ—αὐτοῖς* om. A.B. Ald.
2. *ἀφῄρηται*] *ἀφῄρηνται* libri. Correctum ex Demosthene.
3. *δουλεύωσιν*] *δουλεύσωσιν* B.
5. *Ἰσοκράτης*] p. 67 e.
6. *τῶν*] *τὸ* B.
10. *εἰσαγγελιῶν*:— C.
11. *ἐπιδεχομένοις*] *δεχομένοις* A.
13. *γίνεται* ex Epitome pro *ἔστω*.
16. *γὰρ* ex Epitome additum.
16. *χιλίας*] *τὰς χιλίας* B.
17. *ἑτέρα*] *ἑτέρως* N.
20. *διαιτητοῦ* ex Epitome pro *διαιτητῶν*.
20. *ἀδικηθείη*] *ἀδικηθῇ* A. Ald.
— *ἐξῆν*] *ἐξῆς* A. Ald.
— *τοῦτον*] *τοῦτο* A.B.
21. *Ἰσαῖος*] p. 85, 12. 87, 8.
22. *Ἁγνίου* Valesius. Libri *αὐτοῦ*.
— *κλήρου* om. A.B.N. Ald.

Εἰς ἐμφανῶν κατάστασιν: ὄνομα δίκης ἐστὶν ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι ἐν φανερῷ· Ἰσαῖος ἐν τῷ περὶ τοῦ Φιλοκτήμονος κλήρου. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίνοντα εἰσάγειν εἰς τὸ δικαστήριον.

Εἰς ἓν ἦλθεν: ἀντὶ τοῦ ὡμονόησεν.

Εἰσεπόδιζον: ἀντὶ τοῦ εἰσέβαινον τοὺς πόδας τοῦ χωρίου Ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας.

Εἰς ἕω: ἀντὶ τοῦ εἰς ἀρχομένην ἡμέραν Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου.

Εἰσφρήσειν: ἀντὶ τοῦ εἰσάξειν, εἰσδέξεσθαι· Ἀντιφῶν καὶ Δημοσθένης ἐν η′ Φιλιππικῷ. πολὺ δὲ τοὔνομα ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ.

Ἐκαλίστρουν: Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου, εἰ γνήσιος. Ἰακὸν δ' ἐστί, καὶ τάχ' ἂν εἴη Δεινάρχου· καὶ οὗτος γὰρ ξενικοῖς ὀνόμασι χρῆται.

Ἑκάτης νῆσος: Λυκοῦργος κατὰ Μενεσαίχμου. πρὸ τῆς Δήλου κεῖταί τι νησύδριον, ὅπερ ὑπ' ἐνίων καλεῖται Ψαμμητίχη, ὡς

1. ὄνομα post ἐστὶν ὑπὲρ] ὑπὸ (sic etiam Suidas et Moschopulus Titzii p. 52.) ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι:— 7. χωρίου:— 9. ἡμέραν:— 11. ἀντὶ τοῦ solus habet D. εἰσδέξασθαι. πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν:— 13. ἘΚΑΛΙ΄ΣΤΡΟΥΝ. ἰακόν ἐστιν:— 14. εἴη] εἴρηκε D. 15. ἙΚΆΤΗΣ ΝΗ΄ΣΟΥ (νήσου, hoc accentu, D.) πρὸ— 16. ὅπερ] ὃ Ψαμητίχη (ψαμμιτίχη D. Ψαμίτη Suidas) καλεῖται. καλεῖσθαι δὲ οὕτως φασὶν αὐτὴν διὰ τὸ τοῖς ψαμίτοις τιμᾶσθαι τὴν θεόν· ψαμιτὸν (ψάμμιτον D. ψάμιτον Suidas) δ'—εἰδέα:—

1. ἐστὶν om. B.
2. φανερῷ:— C.
— Ἰσαῖος] p. 59, 22.
4. ἀνακρίνοντα] ἀνακριθέντα N. ἀνακρίναντα Bekkerus.
7. ΕΙ΄ΣΕΠΟ΄ΔΙΖΟΝ] Collato Isæi fragmento, quod Harpocratio attulit s. v. ἀποφοράν, apparet πόδας dictos esse terminos quosdam agrorum, quod perspexit Sauppius Fragm. p. 240. merito rejecta Valesii conjectura ἐγεισιπόδιζον ἀντὶ τοῦ ἔφαινον τοὺς γεισίποδας τοῦ χωρίου.
9. Ἰσαῖος] p. 71, 28.
— τοῦ om. C.
10. Κίρωνος Valesius. Ἥρωνος libri.
11. ἀντὶ τοῦ addidi ex Epitomes codice D.
— εἰσάξειν] εἰσάγειν B. εἰσαγαγεῖν C.
— εἰσδέξεσθαι Sauppius Fragm. p. 152. pro εἰσδέξασθαι.
— Δημοσθένης] p. 93, 18. ubi εἰσφρήσεσθαι.
12. ἐν η′] η simpliciter B. Ceteri ἐν, omisso numero.
13.—p. 106, 3. om. C.
— Δημοσθένης] p. 1157, 12. ubi in libris ἐκάλουν ex glossemate.
14. Δεινάρχου Valesius. Legebatur Δείναρχος.
17. Ψαμμητίχη] ψαμμητύχη B.

Φανόδημος ἐν τῇ α'. Ψαμμητίχην δὲ κεκλῆσθαί φησιν ὁ Σῆμος ἐν α' Δηλιακῶν διὰ τὸ τοῖς ψαμμήτοις τιμᾶσθαι τὴν θεόν· ψάμμητα δ' ἐστὶ ψαιστῶν τις ἰδέα.

ʽΕκατομβαιών: ὄνομα μηνός. ʽΥπερείδης. ὁ γοῦν ʼΑμμώνιός φησιν ἀπὸ τοῦ πλείστας τούτῳ τῷ μηνὶ θύεσθαι ἑκατόμβας κεκλῆσθαι.

ʽΕκατόμνως: ὄνομα κύριον.

ʽΕκατόμπεδον: Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ʻἀπολογισμὸς ʻὧν πεπολίτευται.ʼ ὁ παρθενὼν ὑπό τινων ʽΕκατόμπεδος ἐκαλεῖτο διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος, ὡς Μενεκλῆς ἢ Καλλικράτης ἐν τῷ περὶ ʼΑθηνῶν.

4. ʽΕΚΑΤΟΜΒΑΙΩ'Ν. μὴν ʼΑθηναῖος. ἐκλήθη δὲ οὗτος ἀπὸ τοῦ πλείστας ἑκατόμβας θύεσθαι τῷ (τῷ om. D.) μηνὶ τούτῳ:— 6. ʽΕΚΑ'ΤΟΜΝΟΣ 7. ἐν—πεπολίτευται om. 9. μέγεθος:—

1. ἐν τῇ α'] Legebatur ἐν α', vel quod est in Ald., ἐν πρώτῃ. ἐν α' om. B., solum α' habent A.N.

— Σῆμος] Scribebatur Σημός.

— ἐν α'] Legebatur ἐν τῇ α', vel, quod est in Ald., ἐν τῇ πρώτῃ.

2. Δηλιακῶν vulgo post Φανόδημος ἐν α' lectum huc transposuit Sauppius Fragm. p. 270. cui correctioni ne obstare videatur quod Semi opus Δηλιάδα plus uno in loco appellat Athenæus, monendum est idem Δηλιακά appellari ab Suida s. v. Σῆμος. Vulgatæ scripturæ vitium perspexerat Lenzius ad Atthidum Fragm. p. 6., sed correctione usus erat parum probabili hac, Φανόδημος. ἐν δὲ α' Δηλιακῶν Ψαμμητίχην κεκλῆσθαί φησιν ὁ Σῆμος διὰ τὸ etc. Vossius de Histor. Gr. p. 399. Phanodemi nomen in Φανόδικος mutari voluerat, quem Δηλιακὰ scripsisse constat, sed quem nusquam citavit Harpocratio. Placentas βασυνίας appellatas Iridi oblatas esse ab Deliis ἐν τῇ τῆς ʽΕκάτης νήσῳ ex Semi Δηλιάδος libro secundo refert Athenæus 14. p. 645 b., de quo v. Lobeck. Aglaoph. p. 1064.

2. ψάμμητα] ψάμητα B.

4. ὁ om. N.

— ὁ γοῦν ʼΑμμώνιος Valckenar. Diatr. in Eurip. p. 66. Legebatur ὁ τοῦ ʼΑμφίονος (ἀμφίωνος C. ἀφίωνος G.) Similiter s. v. θόλος dixit ʼΑμμώνιος γοῦν ἐν δ' περὶ βωμῶν γράφει etc.

6. ʽΕΚΑΤΟ'ΜΝΩΣ] Scribebatur ʽΕκατόμνος, quod est in Epitome. ἑκατόμνω A.B.P.Q. Ald.: unde ʽΕκατόμνως restituit Bernhard. ad Suidam vol. 2. p. 123. Eadem forma est s. v. ʼΑρτεμισία et ex correctione nostra s. v. ʼΙδριεύς. Cum similibus apud Cares nominibus ʼΟσογὼς Πακτύως Σύσκως (in titulis apud Boeckh. Corp. Inscr. n. 2691. e.) comparavit Meinek. Vindic. Strabon. p. 227. Totam gl. om. C.

— ὄνομα κύριον] ὄνομα B. ὁ τοῦ μαυσόλου (corr. Μαυσώλου) πατὴρ Καρῶν βασιλεύς N. Quæ ex duabus glossis aliis (ʼΑρτεμισία et ʼΙδριεύς) colligi potuerunt ab interpolatore: quanquam non improbabile est Harpocrationem ipsum paullo plura de Hecatomno dixisse quam nunc leguntur.

8. τινων] τινος B.C.N.P.

— ʽΕκατόμπεδος om. B.C.

9. Μενεκλῆς ἢ om. N.

— Καλλικράτης] Sic correxi quod in libris est Καλλιστράτης, ab Maussaco male in Καλλίστρατος mutatum: de quo dixi ad schol. Ari-

Ἔκδεια: Ὑπερείδης ἐν τῷ κατὰ Πασικλέους "ἐὰν δέ τις ἔκδεια "γένηται," ἤγουν ἐὰν δέ τις ἐνδεήσῃ τοῦ προϋπάρχοντος ἀργυρίου.

Ἐκδεξάμενος: Δημοσθένης ὑπὲρ Κτησιφῶντος "ἐκδεξάμενος "καὶ γράψας." ἐκδέξασθαί ἐστι τὸ παρ' ἑτέρου λαβόντα αὐτὸν ἐγχειρεῖν τὸ δεύτερον. ἐπισκεπτέον δὲ πῶς ἔχει τὸ ἐν τῷ ε' Φιλιππικῷ λεχθὲν ὑπὸ τοῦ ῥήτορος "καὶ τὸ δοκεῖν ἐκδέξασθαι τῶν ἐκείναις "πεπραγμένων."

Ἐκδικάσασθαι: ἀνάδικον ἐκπρᾶξαι διὰ τὸ δικάσασθαι· Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

Ἔκδοσις: τὸ ναυτικὸν δάνεισμα, οἱονεὶ ἔξω δόσις· Δημοσθένης κατ' Ἀφόβου α'.

Ἐκκλητεύειν: τὸ εἰς κρίσιν ἄγειν, ἵν' ἐπάναγκές τις μαρτυρῇ· Αἰσχίνης ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ.

Ἐκλογεῖς: οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου "ἡρέθησαν "γὰρ ἐκλογεῖς παρ' ἡμῖν οἷς πλεῖστα ἐδόκει χρήματα εἶναι." Λυ-

1. ἜΚΔΙΑ (ἔκδεια Z.) Ὑπερίδης ἀντὶ τοῦ ἐὰν δέ τις ἐνδεὴς ᾖ τοῦ πρ. ἀργυρίου :— Harpocrationis glossam omisit Suidas substituta alia longiore. 3. Δημ.—γράψας om. 5. πῶς ἔχει τὸ] τῷ (τὸ D. et Suidas). Conf. p. 93, 5. 6. λεχθὲν] ληφθὲν, omissis ὑπὸ τοῦ ῥήτορος. ἐκδέξασθαι τῶν ἐκείναις] ἐκδέχεσθαι τῶν ἐκείνων (ἐκείνῳ Suidas) 8. ἘΚΔΙΚΆΣΑΣΘΑΙ. Ἰσαῖος ἀντὶ τοῦ ἀνάδικον—δικάσασθαι :— 10. οἱονεὶ] οἷον ἡ D. οὕτω Δημοσθένης κατ' Ἀφόβου πρῶτος (πρώτου D. πρῶτον Suidas) :— 12. ἐπάναγκες] ἐπὶ ἀνάγκαις D. 13. οὕτως Αἰσχίνης :— 15. δημοσίῳ :—

stoph. Av. 395. vol. 3. p. 181. et ad Demosth. vol. 2. p. 642. Idem librorum vitium notabimus s. v. ἑρμαῖ. Recta vero scriptura servata est s. v. Κεραμεικός.

1. ἐὰν δέ τις ἔκδεια γένηται] Hæc videntur ad pecunias in symmoriis solvendas pertinuisse. SAUPP. Fragm. p. 297.

2. ἐνδεήσῃ Bekkerus. Libri ἐνδεὴς ᾖ.

3. Δημοσθένης (p. 232, 9.)—ἐκδεξάμενος et λαβόντα om. Ald.

5. τὸ δεύτερον] τὸν βίον N.

— τὸ δεύτερον :— C.

— ἐν τῷ ε' ex Epitome pro ἐν ε'.

— Φιλιππικῷ] p. 61. φιλιππικῶν B. Ald.

6. ἐκείναις] ἐκείνοις N.

8.—11. om. C.

— ἐκπρᾶξαι] ὑπάρξαι A., sed altero superscripto.

9. Καλλικράτην] καλλικράτη N.

10. Δημοσθένης] p. 816, 26.

11. α' addidi ex Epitome.

12. κρίσιν] κλῆσιν B.

— ἐπάναγκες] ἐπ' ἀνάγκαις A. Idem vitium apud schol. Æschinis p. 18, 4. ed. Ox.

— τις] τι B.C.

13. Αἰσχίνης] p. 37, 3.

— τῇ περὶ τῆς πρεσβείας] τῇ παραπρεσβείας C. τῇ περὶ τῆς παραπρεσβείας B. Ald.

σίας ἐν τῷ πρὸς Ἀρέσανδρον "νῦν δὲ πρὸς τοὺς ἐκλογέας τοῦ φόρου "ἅπαντα ἀπογραφόμεθα."

ἘΚΛΏΖΕΤΕ: Δημοσθένης κατὰ Μειδίου. κλωσμὸν ἔλεγον τὸν γιγνόμενον ἐν τοῖς στόμασι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων ὧν οὐχ ἡδέως ἤκουον.

ἘΚΜΑΡΤΥΡΊΑ: διαφέρει τῆς μαρτυρίας, ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστὶν, ἡ δ' ἐκμαρτυρία τῶν ἀπόντων. σαφέστατα δὲ περὶ τούτων διδάσκουσι Δημοσθένης τε ἐν τῷ κατὰ Στεφάνου καὶ Δείναρχος ἐν τῷ ὑπὲρ Αἰσχίνου κατὰ Δεινίου.

ἘΚ ΠΕΡΙΟΥΣΊΑΣ: Δημοσθένης ὑπὲρ Κτησιφῶντος "οὗτος δ' ἐκ "περιουσίας μου κατηγορεῖ." βέλτιον οὕτως ἀκούειν, ὅτι ἐγὼ μὲν περὶ τῶν ἐσχάτων κινδυνεύω, οὗτος δ' ἐκ πολλοῦ τοῦ περιόντος μου κατηγορεῖ, οὐ περὶ χρημάτων, ὡς οἴονταί τινες.

ἘΚΠΛΙΝΘΕΎΣΑΣ: ἀντὶ τοῦ διαλύσας καὶ ἐξελὼν τὰς πλίνθους Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους.

ἘΚΠΟΛΕΜῆΣΑΙ: Δημοσθένης Φιλιππικοῖς ἀντὶ τοῦ εἰς πόλεμον καταστῆσαι, ὡς καὶ παρὰ Θουκυδίδῃ πολλάκις. ἐν μέντοι τοῖς Ἀττικιανοῖς διὰ τοῦ η γράφεται, ὡς καὶ παρὰ Ξενοφῶντι ἐν ϛ' Ἑλληνικῶν.

ἘΚ ΠΡΟΑΓΩΓῆΣ: ἀντὶ τοῦ πρὸς ἀνάγκην καὶ οὐκ ἐκ φύσεως οὐδ' ἁπλοϊκῶς. ἡ μεταφορὰ ἀπὸ τῶν οὐχ ἡμένων, ἀλλ' ἐκ προβολῶν προηναγκασμένων δεσμοῖς. Δημοσθένης κατ' Ἀριστοκράτους.

3. ἘΚΛΏΖΕΤΕ] ἐκλώξετε (sic) T. Δημ. κ. Μ. om. γινόμενον 4. τῷ στόματι 6. μαρτυρία om. 7. ἀπόντων:— 10. ἐν τῷ (ἐν τῷ om. D.) ὑπὲρ Κτησιφῶντος. ἐγὼ μὲν π. τῶν ἐσχ. κινδ., (ἐγὼ—κινδυνεύω om. D.) οὗτος δὲ ἐκ περιουσίας κατηγορεῖ ἀντὶ τοῦ ἐκ πολλοῦ τοῦ περιόντος:— 14. ἘΚΠΛ. Ἰσαῖος ἀντὶ τοῦ διαλ.—πλίνθους:— 16. Δημ. Φ. om. 17. καταστῆσαι. γράφεται δὲ καὶ διὰ τοῦ η ἐκπολεμῆσαι, ὡς καὶ (καὶ om. D.) παρὰ Ξενοφῶντι ἐκπολεμῆσαι (ἐκπολεμῆσαι om. D.):— 19. προσαγωγῆς 20. ἁπλοικῶς:—

1. δὲ om. C.
3. Δημοσθένης] p. 586, 17.
5. ἤκουον ex Epitome et O. pro ἠκροῶντο.
8. διδάσκουσι] ἐκδιδάσκουσι C.
— Δημοσθένης] p. 1131, 1.
— τε om. B.G.
— κατὰ] περὶ A.B.C.G.
9. Δεινίου] δινίου A.B.
10. Δημοσθένης] p. 226, 19.
11. μου om. Ald.
12. μόυ om. A. Ald.
14. τὰς] τοὺς B.C.
16. Δημοσθένης] p. 10, 29, et 30, 29, de quibus locis vide quæ dixi in Præfat. ad Demosth. vol. 1. p. IV.
17. Ἀττικιανοῖς Hemsterh. ap. Dobr. ad Phot. p. 740. Libri Ἀττικοῖς. Vide Præfat. ad Demosth. vol. 1. p. III.
18. ἐν ϛ'] Immo 5, 4, 20.
19. προαγωγῆς] παραγωγῆς N.
21. δεσμοῖς—Ἀριστοκράτους om. C.
— Δημοσθένης] p. 678, 19.

ˈΕκφυλλοφορῆσαι: εἰ ἐδόκει τις τῶν βουλευτῶν ἀδικεῖν, διεψηφίζετο ἡ βουλὴ περὶ αὐτοῦ εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν. ἀντὶ δὲ ψήφων φύλλοις ἐχρῶντο, δι' ὧν ἕκαστος ἐπεσημαίνετο τὴν αὐτοῦ γνώμην. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος.

ˈΕλαιούς: πόλις ἐν Χερρονήσῳ τῇ Θρᾳκίᾳ.

ˈΕλάτεια: Δημοσθένης ὑπὲρ Κτησιφῶντος· πόλις δὲ ἦν μεγίστη τῶν ἐν Φωκεῦσι. τοῦ δὲ ῥήτορος πάλιν ἐν ζʹ Φιλιππικῶν, εἰ γνήσιος, τάδε, "ἐν Κασσωπίᾳ τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχετα καὶ "ˈΕλάτειαν." ῥητέον ὅτι βέλτιον ἐν ἐνίοις γέγραπται διὰ τοῦ ρ ˈΕλάτρεια· Θεόπομπος γοῦν ἐν μγʹ τέτταρας πόλεις φησὶν εἶναι τῶν Κασσωπαίων, ἀλλ' οὐ τρεῖς ὥσπερ ὁ Δημοσθένης, ˈΕλάτρειάν τε καὶ Πανδοσίαν καὶ Βιτίαν καὶ Βούχετα.

ˈΕλαφροτάτους: καὶ ἐν ἐπαίνῳ λέγουσι τοὔνομα οἱ παλαιοί, ἀντὶ τοῦ πραοτάτους, κατὰ τὸ ἐναντίον τοῦ βαρυτάτους καὶ φορτικωτάτους. ˈΙσοκράτης Παναθηναϊκῷ "σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλα- "φροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας."

1. Hanc gl. omisit Suidas, alia substituta copiosiore. διεψηφίζετο] ἐψηφίζετο D. 3. ψήφου δι' ὧν] ἐν οἷς ἑαυτοῦ βουλήν:— 5. ˈΕΛΕΟΥˆΝΤΑ (ἐλαιοῦντα D.). πόλις ἐστὶν ἐν Χερσονήσῳ τῆς Θρᾴκης:— 6. ˈΕΛΑˊΤΕΙΑ. πόλις μεγίστη τῶν ἐν Φωκεῦσιν. ἔνιοι δὲ διὰ τοῦ ρ προφέρουσιν ˈΕλάτρειαν δοκοῦντες ἄμεινον γράφειν:— 13. καὶ om. λέγουσι τοὔνομα] τοὔνομα λέγουσιν D. λέγουσι τὸ ὄνομα Suidas. γράφουσιν τὸ ὄνομα E.T. 14. τοῦ β.] τὸ β. D. βαρυτάτους καὶ φορτικωτάτους] βαρυτάτου καὶ φορτικωτάτου Suidas. 15. ˈΙσοκράτης— παρέχοντας om. E.T. Suidas, habet D. σφᾶς] σφὰς D.

1. ˈΕΚΦΥΛΛΟΦΟΡΗˆΣΑΙ usque ad ˈΕΜΠΟΔΩˊΝ] Hæ glossæ in A. Ald. trajectæ post ἐπακτὸς ὅρκος. Glossam ἐκφυλλοφορῆσαι post Ἔμπουσα habet B. Idem glossas ˈΕλάτεια—ἐμποδών collocat post ἐπακτὸς ὅρκος.

— διεψηφίζετο] ἐψηφίζετο C.

3. ἐπεσημαίνετο] –μήνατο A. Ald.

5. om. B.

— ˈΕλαιούς] ἐλεούς A.

6. ˈΕΛΑˊΤΕΙΑ] ἐλάτρια N.

— Δημοσθένης] p. 275, 13.

— δὲ] μὲν C.

7. ἐν ζʹ Φιλιππικῶν (Φ. om. B. C.)] p. 84, 23.

8. Κασσωπίᾳ] Scribebatur Κασσωπείᾳ, quod in κασσιεπείᾳ corruptum in A., in κασιεπείᾳ in B.C. Ald. Recte apud Demosthenem.

8. Πανδοσίαν—ˈΕλάτειαν Ald. πανδοσία—ἐλάτεια codices.

— Βούχετα Maussacus. βούκετα codices. βούκεταν Ald. Apud Demosthenem libri Βούχεταν. Rectam scripturam Harpocratio ipse præbet s. v. Βούχετα.

9. ˈΕλάτεια :— C.

— ˈΕλάτρεια] ἐλάτρια A. Ald.

10. τέτταρας] τέσσαρας B.

— Κασσωπαίων] κασσιεπέων A. Ald. et simplici σ B. κασσωπέων ceteri.

11. ˈΕλάτειαν] ἐλάτριαν N. Ald.

12. Βούχετα] Libri Βούκεταν.

13. καὶ accessit ex B.C.G.

14. τοῦ β.] τῷ β. A.C. Ald. τὸ β. B.

— καὶ φορτικωτάτους om. B.C.

15. ˈΙσοκράτης] p. 239 b.

Ἐλεοκόπων: Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς "πέντε "μησὶ μετὰ τῶν ἐλεοκόπων διαιτώμενος." ἐλεοκόπους λέγοι ἂν ὁ ῥήτωρ τοὺς τὰ ἕλη κόπτοντας, τοῦ ε παρεμβεβλημένου, ὡς τὸ "ἐλε-"όθρεπτόν τε σέλινον" παρ' Ὁμήρῳ. μήποτε δὲ παρὰ τὸ ἐλεὸν, ὅπερ ἐστὶ σκεῦος ξύλινον, γεγένηται τοὔνομα. Ἀριστοφάνης Ἱππεῦσιν

εἰ προσκαθέλοι με τοὐλεόν.

Ἐλευθέριος Ζεύς: Ὑπερείδης "τῷ μὲν τοίνυν Διΐ, ὦ ἄνδρες "δικασταὶ, ἡ ἐπωνυμία γέγονε τοῦ ἐλευθέριον προσαγορεύεσθαι διὰ "τὸ τοὺς ἐξελευθέρους τὴν στοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ." ὁ δὲ Δίδυμός φησιν ἁμαρτάνειν τὸν ῥήτορα· ἐκλήθη γὰρ ἐλευθέριος διὰ τὸ τῶν Μηδικῶν ἀπαλλαγῆναι τοὺς Ἀθηναίους. ὅτι δὲ ἐπιγέγραπται μὲν σωτὴρ, ὀνομάζεται δὲ καὶ ἐλευθέριος, δηλοῖ καὶ Μένανδρος.

Ἐλευσίνια: Ὑπερείδης ἐν τῷ ὑπὲρ Καλλίππου. τοῖς νικῶσι τὰ Ἐλευσίνια ἐδίδοτο ἆθλον. ὠνομάσθη δὲ ἡ πόλις Ἐλευσὶς ἀπὸ

1. 'ΕΛΕΟΚΟ'ΠΟΥΣ. *Λυσίας τοὺς τὰ ἕλη κόπτοντας* 4. *τε* om. *ἐλεὸν*] *ἔλεον* (sic etiam tres libri Suidæ) 5. *ἐστι σκεῦος ξ.*] *σκεῦος* om. E.T. in lacuna, et sine lacuna Suidas. In D. *ἐστὶν ἐκτὸς σέλινον*, adscripto in margine ab eadem manu *ξύλινον*. *Ἀριστοφάνης—τοὐλεόν* om. E.T. et Suidas, habet D., qui *εἰς πρὸσ καθελέ μοι τοὔλεον*:— 7. 'ΕΛΕΥΘΕ'ΡΙΟΣ (*ἐλευθερίοις* T.) ΖΕΥ'Σ. *διὰ τοῦτο καλεῖται ἐλευθέριος Ζεὺς* (*Ζεὺς* om. D.), *διὰ* (*ἐλευθέριος. ὁ Ζεὺς διὰ τοῦτο ἐκλήθη, διὰ* Suidas) *τοὺς* (*τὸ τοὺς* D. et Suidas)—*αὐτοῦ. οὕτω μὲν Ὑπερίδης. ὁ δὲ Δίδυμος οὐ διὰ τοῦτό φησιν, ἀλλὰ διὰ τὸ τῆς Μηδικῶν* (*Μηδικῆς* Suidas) *δουλείας καὶ ἐπικρατείας* (*καὶ ἐπικρατείας* om. D.) *ἀπαλλαγῆναι τοὺς Ἀθηναίους*:— 13. *Ὑπ.—Καλλ.* om. 14. *Ἐλευσὶς* om.

1. 'ΕΛΕΟΚΟ'ΠΩΝ] *ἐλεοκόπους* B. C.G. "Possis *ἐλαιοκόπων* conjicere "(cf. Varro de R. R. 1, 55.), sed "*quinque menses* illi parum apti "sunt." SAUPP. Fragm. p. 183.

— *ἐν τῷ* Bekkerus. Libri *ἐν τῷ ι'* vel, quod est in Ald., *ἐν τῷ δεκάτῳ*.

— *Δημοσθένους*] *δημοσθένης* A.

4. *Ὁμήρῳ*] Il. 2, 776.

— *δὲ*] *καὶ* C.G.

5. *σκεῦος* Toupius. Libri *ἐκτὸς*, quod om. Epitome et Ald.

— *ξύλινον*] *ξυλίνου* B.C.

— *Ἱππεῦσιν*] v. 152. ubi *ἴθι δή, κάθελ' αὐτοῦ τοὐλεόν*.

6. *εἰ προσκαθέλοι με*] *εἰς πρὸς καθελέ μοι* D.

9. *τὸ τοὺς*] *τὸ* om. pr. B.

9. *ἐξελευθέρους*] *ἐλευθέρους* pr. B. Suidæque codex Vossianus.

11. *τῶν Μηδικῶν ἀπαλλαγῆναι*] Quæ in Epitome leguntur *τῆς Μηδικῶν* (corrige *Μηδικῆς* ex Suida) *δουλείας καὶ ἐπικρατείας ἀπαλλαγῆναι* non ab Epitomatore posita, sed e libro integriore sumta videntur.

— *ὅτι δὲ ἐπιγέγραπται*] *ὅτι ἐπιγέγραπτο* C.

12. *ὀνομάζεται*] *ὠνομάζετο* B.C.G.

— *δὲ καὶ*] *καὶ* om. iidem.

— *δηλοῖ καὶ*] *καὶ* om. C.

14. *ἆθλον*] *κριθαί*, ut intelligitur ex schol. Pind. Olymp. 9, 150., quod ipsum addi volebat Meursius Eleusin. c. 28. Non habet, qui Harpocrationis verba repetivit, Etym. M. p. 329, 42. *ἆθλον τοῦ καρ-*

Ἐλευσίνου τοῦ Ἑρμοῦ. ἄλλοι δὲ ἄλλας αἰτίας φασὶ καὶ ἑορτὴν εἶναι μόνον τὰ Ἐλευσίνια.

Ἑλικτῆρες: ἐνωτίων εἶδος· Λυσίας.

Ἕλιξος: εἷς τῶν ἐπιφανῶν ἀνδρῶν παρὰ Μεγαρεῦσιν.

Ἑλλανοδίκαι: Ὑπερείδης ἐν τῷ ὑπὲρ Καλλίππου πρὸς Ἠλείους. Ἀριστοτέλης Ἠλείων πολιτείᾳ τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους Ἑλλανοδίκην, χρόνου δὲ διελθόντος β', τὸ δὲ τελευταῖον θ'. Ἀριστόδημος δ' ὁ Ἠλεῖός φησι τοὺς τελευταίους τιθέντας τὸν ἀγῶνα Ἑλλανοδίκας εἶναι ι', ἀφ' ἑκάστης φυλῆς ἕνα.

Ἑλληνοταμίαι: Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος. ὅτι ἀρχή τις ἦν οἱ Ἑλληνοταμίαι, οἳ διεχείριζον τὰ χρήματα, καὶ Ἀριστοτέλης δηλοῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. μνημονεύει δὲ καὶ Θουκυδίδης αὐτῶν ἐν α'.

Ἐμβεβλημένα: ἀντὶ τοῦ ἐγκεκεντρισμένα Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. καὶ Ἀριστοτέλης δ' ἐμβολάδας ἀπίους λέγει τὰς τοιαύτας.

Ἔμβιος: Ἀντιφῶν Ἀληθείας α' "καὶ ἡ σηπεδὼν τοῦ ξύλου ἔμ-" "βιος γένοιτο" ἀντὶ τοῦ ἐν τῷ ζῆν, τουτέστι ζήσειε καὶ μὴ ξηρανθείη μηδ' ἀποθάνοι.

1. ἄλλας αἰτίας] ἄλλην αἰτίαν D. et Suidas. 3. Λυσίας om. 4. εἷς] τις D. 5. Ὑπ.—πολιτείᾳ om. 6. τὸ μὲν πρῶτον ἕνα καθίστων ἑλλανοδίκην οἱ Ἠλεῖοι, εἶτα δύο, τελευταῖον δὲ θ. 8. φησι om. 9. ι εἶναι Ἑλλανοδίκας 10. ΕΛΙΝΟΤΑΜΙ'ΑΙ. (Recte Ἑλλην– in D. et ap. Suidam.) ἀρχή τις ἦν οἳ διεχείριζον τὰ χρήματα:— 14. ἀντὶ τοῦ om. Δημ.—Ν. om. 15. καὶ Ἀρ. δὲ] Ἀριστοφάνης δὲ καὶ ἀππίους (ἀπίους Suidas) τὰς τοιαύτας λέγει:— 17. ἜΜΒΙΟΝ. Ἀντιφῶν τὸ ζῶν καὶ μὴ (ζῶν μηδὲ D.) ξηρανθὲν μηδὲ ἐναποθανόν:—

ποῦ τοῦ φανθέντος dixit Aristides vol. 1. 257, 12.

1. ἄλλοι δὲ — Ἐλευσίνια addidi ex Epitome.

3. Λυσίας] p. 121, 44.

4. ἝΛΙΞΟΣ] Vid. Thucyd. 8. 80.

5. ἙΛΛΑΝΟΔΙ'ΚΑΙ] De numero et munere Hellanodicarum disseruit O. Mueller. in Welck. Museo Rhen. a. 1834. p. 167.

6. Ἠλείων] ἐν ἠλείων Ald.

— τὸ μὲν—κ. τοὺς] τὸ πρῶτον καταστῆσαί φησι τοὺς B. μὲν et ἕνα om. etiam C.

7. τὸ δὲ] δὲ om. B.C.

10. Ἀνδοκίδης] p. 28, 16.

13. Θουκυδίδης—ἐν α'] c. 96.

14. ἘΚΒΕΒΛΗΜΕ'ΝΑΣ ἀντὶ τοῦ ἐγκεκεντρισμένας C.

— Δημοσθένης] p. 1251, 22.

15. Ἀριστοτέλης] Ἀριστοφάνης Epitome. Verum esse Aristotelis nomen constat ex Athenæo 14. p. 653 d. qui ἐπεμβεβλημένα et ἐπεμβολάδας dixit quæ Harpocratio ἐμβ—. Utrumque dictum esse ab veteribus aliorum scriptorum exempla docent.

Ἔμβραχυ: ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφαλαίῳ Ἀντιφῶν.

Ἔμμηνοι δίκαι: αἵ τε ἐμπορικαὶ καὶ ἐρανικαί· Δημοσθένης καὶ Ὑπερείδης.

Ἐμποδών: Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως "καὶ τοὺς "ἐμποδὼν ἐκολάσατε" ἀντὶ τοῦ τοὺς ἐμπεσόντας, καθὰ καὶ Ἀνδοκίδης ἐν τῷ κατ' Ἀλκιβιάδου.

Ἔμπουσα: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. φάσμα τί φασιν εἶναι τῆς Ἑκάτης, ὃ τοῖς δυστυχοῦσιν ἐφαίνετο. πλήρης δὲ τοῦ ὀνόματος ἡ κωμῳδία.

Ἔναι ἀρχαί: αἱ παρῳχημέναι· Δημοσθένης κατ' Ἀριστογείτονος.

Ἔνδειξις: εἶδος δίκης δημοσίας, ὑφ' ἣν τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν ἢ τόπων ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον. πολλοὶ μὲν οὖν εἰσὶ λόγοι ἐνδείξεως, γνωριμώτατοι δὲ οἱ κατ' Ἀριστογείτονος Δημοσθένους.

Ἐνδεκάζοντας: ἀντὶ τοῦ ἐνεορτάζοντας, ἐν τῷ αὐτῷ τὴν δεκάτην ἄγοντας, Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνου.

Ἐν Διομείοις Ἡράκλειον: Ὑπερείδης κατὰ Κόνωνος. τῆς ἐν Διομείοις ἀγομένης ἑορτῆς τῷ Ἡρακλεῖ μνημονεύουσι καὶ οἱ κωμικοί.

1. ἘΝ ΒΡΑΧΕΙ͂ Ἀντιφῶν ἀντὶ τοῦ ἁ. καὶ ἐν κ.:— 2. ἐρανικαί:— 4. ἘΜΠΟΔΩ͂Ν. Ἀντιφῶν τοὺς ἐμπεσόντας. λέγει γὰρ τοὺς ἐμποδὼν ἐκολάσατε:— 7. Δημ.—Κτ. om. φησιν εἶναι om. 8. ὃ τοῖς δυστυχοῦσιν ἐφαίνετο:— Totam gl. omisit Suidas, substituta alia copiosiore. 13. ὑπῆγον. Δημοσθένης κατὰ Ἀριστογείτονος:— 18. ἘΝ ΔΙΟΜΙΌΙΣ ἩΡΆΚΛΕΙΟΝ. ἡ ἐν Διομίοις (διομείοις D.) ἀγομένη τῷ Ἡρακλεῖ ἑορτή:— Διομίοις duo codices Suidæ et ed. Mediol. utrobique. Ceteri Διομείοις.

1. om. C.

— ἜΜΒΡΑΧΥ] Legebatur ἐν βραχεῖ. Correxi ex N. qui ἐν βραχεῖ ἀθρόων, superscripto ἔμβραχυ ἁπλῶς. V. quæ in Thesauro dicta sunt vol. 3. p. 822.

2. ἜΜΜΗΝΟΙ—Ὑπερείδης om. C.

— Δημοσθένης] p. 900, 4. 966, 17.

4. καὶ om. A. Ald.

5. τοῦ om. C., τοὺς om. A.B. Ald.

— ἐμπεσόντας] ἐν ποσὶ margo N.

— Ἀνδοκίδης] p. 30, 16.

7. Δημοσθένης] p. 270, 25.

— φασιν] φησιν C., om. B.

8. ὃ τοῖς δυστυχοῦσιν ex Epitome et N. Libri ceteri ὅπερ στοιχοῦσιν.

10. Hanc glossam duasque proximas om. C.

— Δημοσθένης] p. 775, 25.

13. ὑπῆγον] ἀπῆγον A.

16. ἐν τῷ αὐτῷ] ἐν ἑαυτῷ B.

17. Δημοσθένης] p. 1335, 7.

18. Ἡράκλειον] Ἡράκλεια Hemsterhusius.

Ἐνεπίσκημμα καὶ ἐνεπισκήψασθαι : Δημοσθένης ἐν τῷ κατὰ Τιμοθέου. ὁπότε δημευθείη τινὸς ἡ οὐσία, ἐξῆν προσελθόντι τῷ φάσκοντι δανειστῇ γεγονέναι τούτου τοῦ ἀνδρὸς λέγειν ὅτι ἐνοφείλεται αὐτῷ χρέος ἐν τῇ οὐσίᾳ. ἔστι δὲ καὶ λόγος τις ἐπιγραφόμενος ‘Δημοσθένους πρὸς Κριτίαν περὶ τοῦ ἐνεπισκήμματος,’ ὃν Καλλίμαχος μὲν ἀναγράφει ὡς γνήσιον, Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς ὡς ψευδεπίγραφον.

Ἐνεσκευασμένην : Ἰσαῖος ἐν τῷ πρὸς Ἀριστογείτονα καὶ Ἄρχιππον ἀντὶ τοῦ ἐσκευασμένην καὶ πεπλασμένην.

Ἐνετιμᾶτο : Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν. τὸ ἀπετιμᾶτο διαφέρει τοῦ ἐνετιμᾶτο· ὅταν μὲν γὰρ πρός τι ποσὸν ἀργύριον ἀποτίμημα λαμβάνῃ τις, ἀποτιμᾶσθαι λέγεται· ὅταν δὲ ἐν εἴδεσί τισι λογίσηταί τις μέρος τι τοῦ ἀργυρίου, τοῦτο λέγεται ὡς ἐνετιμήσατο.

Ἕνη καὶ νέα : Ὑπερείδης ἐν τῷ πρὸς Ὑγιαίνοντα. τὴν ὑφ' ἡμῶν τριακάδα καλουμένην ἕνην καὶ νέαν καλοῦσιν Ἀθηναῖοι ἀπὸ τοῦ τὴν

1. Δ.—Τιμοθέου om. 2. τινὸς οὐσία, ἐξῆν προελθεῖν τῷ—καὶ λέγειν. 3. γεγενῆσθαι δανειστῇ τοῦ ὡς ὀφείλεται 4. ἐν τῇ οὐσίᾳ χρέως (χρέος D. et Suidas). καὶ τοῦτο λέγεται ἐπίσκημμα καὶ ἐνεπισκήψασθαι :— 8. Ἰσ.—Ἄρχ. om. 9. διεσκευασμένην πεπλασμένην] Ἰσαῖος καὶ Δημοσθένης :— 10. Δημοσθένης—τὸ ἀπετιμᾶτο om. τοῦ ἐνετιμᾶτο] τοῦ ἀπετιμᾶτο E.T. et Suidas, τοῦ ἐπετιμᾶτο D. 11. ὅταν μὲν γάρ τις ὥς τι ποσὸν—λαμβάνῃ τις 14. ἝΝΗ (ἐν ᾗ T. ἕνην Suidas) καὶ ΝΈΑΝ. τὴν ὑφ' ἡμῶν τριακάδα καλουμένην Ἀθηναῖοι λέγουσιν 15. ἀπὸ] ἐκ Suidas.

2. ἡ additum ex B.

3. ἐνοφείλεται] ἓν ὀφείλεται A.B. Ald.

4. Δημοσθένους N. Vulgo Δημοσθένης.

6. ἀναγράφει] Literis ἀνα superscriptum ἐγ in N.

— Ἁλικαρνασεὺς] ἁλικαρνασσεὺς B.N.

9. καὶ πεπλασμένην om. B.C.

10. ἘΝΕΤΙΜΑ͂ΤΟ om. A.B.C.

— Verba Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν (p. 1036, 12.) in libris superiori glossæ post πεπλασμένην addita huc transposuit Valesius.

— τὸ ἀπετιμᾶτο] τὸ ἐναπετιμᾶτο Valesius.

11. ἀργύριον] ἀργυρίου B.C.G.

12. ἀποτιμᾶσθαι] ἐναποτιμᾶσθαι Valesius. “Si quis puellam ἐπίκληρον “ducturus loco ejus dotis (do“mus, agri, etc.) pecuniæ sum“mam accipiat, ἀποτιμᾶται. Si “quis puellam ducturus cum dote “decem talentorum, accipiat octo “talenta, et vestem, supellecti“lem et cetera (εἴδη) duobus ta“lentis æstimata, ἐντιμᾶται τὰ εἴδη “δυοῖν ταλάντοιν. Anglice ἀποτιμᾶ“σθαι est *to waive or compound a* “*claim for a sum of money received;* “ἐντιμᾶσθαι est *to take goods in part* “*of payment*. Vide Vales. Intelli“git Hemsterh. ἐντιμᾶσθαι *to take* “*goods at a valuation in part of* “*payment*.” DOBR.

13. λογίσηται] λογίσαιτο B.G.

— τι τοῦ] τι τὸ τοῦ A.B.C.N.

15. τριακάδα καλουμένην] καλουμένην τριακάδα B.C.

— Ἀθηναῖοι] οἱ ἀθηναῖοι B.

τελευτὴν ἔχειν τοῦ προτέρου μηνὸς καὶ τὴν ἀρχὴν τοῦ ὑστέρου. Πολέμων δέ φησιν ὅτι ἐκάλεσάν ποτε αὐτὴν Ἀθηναῖοι Δημητριάδα ἐπὶ τιμῇ Δημητρίου τοῦ Μακεδόνος. ἝΝΗΝ *δὲ καὶ* ΕἸΣ ἝΝΗΝ *τὸ εἰς τρίτην λέγουσι. καὶ ἁπλῶς τὸ* ἝΝΟΝ *δασυνόμενον τὸ πρότερον καὶ παρεληλυθὸς δηλοῖ.*

ἜΝΘΡΥΠΤΑ: *Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Δίδυμος ὁ γραμματικὸς ἐν τῷ ὑπομνήματι τοῦ λόγου εἰπὼν ὡς τὰ ἔνθρυπτα ἐκκείμενον καὶ γνώριμον ἀπ' αὐτῆς ἔχει τῆς φωνῆς τὸ σημαινόμενον, περιεργότερόν τινα ἐκτίθεται ἐξήγησιν ἀμάρτυρον· εἰσὶ δὲ ἔνθρυπτα τὰ ἐκ πεμμάτων, ἢ τὰ ἐνθρυβόμενα βρώματα. ἔνιοι δὲ ταῖς τελεταῖς αὐτὰ προσοικειοῦσι· καὶ Ἀπόλλων δὲ παρ' Ἀθηναίοις Ἔνθρυπτος.*

ἘΝ ΛΊΜΝΑΙΣ ΔΙΟΝΎΣΙΟΝ: *Ἰσαῖος περὶ τοῦ Κίρωνος κλήρου. τόπος ἐστὶν ἐν Ἀθήναις Λίμναι, ἐν ᾧ ὁ τιμώμενος Διόνυσος.*

ἘΝΝΕΆΚΡΟΥΝΟΝ: *[Λυσίας] Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. κρήνη τις ἐν Ἀθήναις· πρότερον δ' ἐκαλεῖτο Καλλιρρόη.*

2. *αὐτήν ποτε Ἀθηναῖοι* om. 3. *Δημητρίου*] *τοῦ μητρίου* D. ἝΝΗΝ *δὲ καὶ* ΕἸ'Σ ἝΝΗΝ (*ἕνης δὲ καὶ εἰσένην* E.T.)—*δηλοῖ* habent E.T. et Suidas, om. D. 6.—9. ἜΝΘΡΥΠΤΑ—*εἰσὶ δὲ* om. 9. Apud Suidam numero singulari *ἔνθρυπτον τὸ—τὸ ἐνθρυβόμενον βρῶμα—αὐτὸ* 10. *δὲ* om. Suidas. 13. *Ἰσ.—κλήρου* om. 13. *Διόνυσος*] *διονύσιος* E.T. *ὁ διονύσιος* D., licet *ὁ* etiam ante *τιμώμενος* habeat. Recte *Διόνυσος* apud Suidam. 14. ἘΝΝΕΑ'ΚΡΟΥΝΟΝ. *κρήνη τις Ἀθήνησιν Καλλιρόη καλουμένη πρότερον*:—

1. *προτέρου*] *πρώτου* B.G.
2. *ποτε αὐτὴν*] *αὐτήν ποτε* N.
— Quod post *αὐτὴν* in codicibus omnibus additum, ab Ald. autem omissum est, *ἀθηνᾶν* ex *Ἀθηναῖοι* corruptum esse vidit Hemst.
6. ἜΝΘΡΥΠΤΑ] *ἐνθρυπτὰ* A.B. Ald. hic et infra.
— *Δημοσθένης*] p. 314, 1.
— *ἐν τῷ* om. N.
10. *ἐνθρυβόμενα*] *ἐνθρυπτόμενα* N.
— *βρώματα*] *βρέματα* A. *βρέμματα* Ald.
13. ΔΙΟΝΥ'ΣΙΟΝ] *διονύσιος* B.N. *διόνυσος* G.
— *Ἰσαῖος—κλήρου*] *ἐν Λίμναις Διονύσιον* non nominatur in hac oratione, memorantur vero Dionysia ruralia p. 70, 24.
13. *τοῦ* om. B.C.
— *Κίρωνος*] *κύρωνος* B. *ἥρωνος* C. *κιρωνίου* N.
14. *ἐν ᾧ τιμώμενος*] *ἐν ᾧ τιμᾶται* N. *ὁ* om. etiam A.B. Ald.
— *Διόνυσος*] *διονύσιος* A.B.N.
14. Addidi *Ἰσοκράτης*, secluso *Λυσίας*, quod ego delevissem cum Orellio ad Isocr. p. 292., nisi aliqua verba intercidisse possent hoc modo, quem Sauppius proposuit Fragm. p. 176. *Λυσίας ἐν τῷ* . . . . . *καὶ Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως*, in qua oratione genitivus legitur *Ἐννεακρούνου* p. 491. §. 306. ed. Bekk. Oxon.
16. *Καλλιρρόη* C. Scribebatur *Καλλιρόη*.

Ἐννέα ὁδοί: Αἰσχίνης ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ. τόπος ἐν Θρᾴκῃ περὶ τὴν Ἀμφίπολιν.

Ἐν παραβύστῳ: ἀντὶ τοῦ κρύφα καὶ οὐ φανερῶς Ὑπερείδης ἐν τῷ κατ' Ἀρχεστρατίδου.

Ἐνσημαινόμενος: ἀντὶ τοῦ ἐνδεικνύμενος καὶ ἐμφαίνων Ἰσοκράτης.

Ἐν Φρεαττοῖ: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους περὶ τοῦ ἐν Φρεαττοῖ δικαστηρίου ἀκριβῶς διεξελήλυθε, λέγων οὕτως. "ἔτι "τοίνυν πέμπτον δικαστήριον ἄλλο θεάσασθε οἷον ὑπερβέβηκε τὸ ἐν Φρεαττοῖ. ἐνταῦθα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, κελεύει δίκας ὑπέχειν "ὁ νόμος, ἐάν τις ἐπ' ἀκουσίῳ φόνῳ πεφευγώς, μήπω τῶν ἐκβαλόν- "των αὐτὸν ᾐδεσμένων, αἰτίαν ἔχῃ ἑτέρου φόνου ἑκουσίου." καὶ μετ' ὀλίγον φησὶν "ἤγαγε τοὺς δικάσοντας οἷ προσελθεῖν οἷόν τε ἐκείνῳ, "τῆς χώρας ἀποδείξας τόπον τινὰ ἐν Φρεαττοῖ καλούμενον ἐπὶ θα- "λάττης· εἶθ' ὁ μὲν ἐν πλοίῳ προσπλεύσας λέγει, τῆς γῆς οὐχ "ἁπτόμενος, οἱ δ' ἀκροῶνται καὶ δικάζουσιν ἐπὶ τῆς γῆς. κἂν μὲν "ἁλῷ, τὴν ἐπὶ τοῖς ἑκουσίοις φόνοις δίκην ἔδωκε δικαίαν· ἐὰν δὲ "ἀποφύγῃ, ταύτης μὲν ἀθῷος ἀφίεται, τὴν δὲ ἐπὶ ἑτέρῳ φόνῳ φυ- "γὴν ὑπέχει." ὠνομάσθαι δ' ἔοικε τὸ δικαστήριον ἀπό τινος Φρεάττου ἥρωος, καθά φησι Θεόφραστος ἐν ιϛ' τῶν Νόμων.

1. ἘΝΝΈΑ ὉΔΟΊ. τόπος Θρᾳκικὸς παρὰ τὴν Ἀμφίπολιν: — 3. ἀντὶ τοῦ om. φανερῶς: — Duas alias glossas habet Suidas. 5. Ἰσοκράτης om. 7. ἘΜΦΡΕΑΤΟΊ (Ἐμφρεάτοι Suidas): quod ortum ex scriptura veteri ἐμ Φρεαττοῖ. Δημ.—ὑπέχει] δικαστήριον τῶν ἀκουσίων φόνων ἐν Ἀθήναις. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος ἀκριβῶς διέρχεται περὶ αὐτοῦ. ὠνομάσθαι δὲ τὸ δικαστήριον ἔοικεν 19. Φρέατος ἥρωος, ὡς Θεόφρα-

1. Αἰσχίνης] p. 32, 21.
3. οὐ] μὴ B.C.
4. Ἀρχεστρατίδου] ἀρχιστρατίδου A.B. Ald. ἀρχιστρατήδου C.
5. Ἰσοκράτης] p. 87 d.
6. ΦΡΕΑΤΤΟΙ^τ] Duplex τ hic et infra restituit Maussacus pro simplici, quod est in libris. Hic et infra φρεάτου A.B.C. Ald. et superscripto hic ultimæ syllabæ δι N.
— Δημοσθένης] p. 645, 26.
— τοῦ—δικαστηρίου] τῶν—δικαστηρίων B.C.
7. ἔτι τοίνυν πέμπτον δικαστήριον] ἔστι τοίνυν πέντε δικαστήρια B.C.
8. ἐν Φρεαττοῖ] ἐκ φρεάτου B.
10. ἐνταῦθα γὰρ—φυγὴν ὑπέχει om. C.
— ἄνδρες om. A.B.N.
11. ἐκβαλόντων] ἐκβαλλόντων B. (A?) Ald.
12. ᾐδεσμένων] ἢ δεομένων A.B.N. Ald.
13. οἷόν τε] οἴονται A.B.N. Ald.
14. ἐν Φρεαττοῖ] ἐκ φρεάτου Ald.
— θαλάττης] θαλάττη N.
17. φόνοις] φόνην Ald. φωνὴν A.
19. Φρεάττου] Libri Φρεάτου.
Μαργίτης: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος "ἐπωνυμίαν δὲ "Ἀλεξάνδρῳ Μαργίτην ἔθετο." καὶ Μαρσύας ἐν ε' τῶν περὶ Ἀλεξάνδρου ἱστορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.

Μαρώνεια: Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ. τόπος ἐστὶ τῆς Ἀττικῆς. ἔστι μέντοι καὶ πόλις ἐν Θρᾴκῃ Μαρώνεια, ἥν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην· μνημονεύ-

4. ὁ μεμαλαγμένος (μεμαγμένος Phot.) κηρός :— 7. ΜΑΝΤΙΝΑΙ'ΩΝ ΔΙΩΚΙΣΜΟ'Σ. εἰς ε' κώμας τὴν Μαντιναίων διῴκησαν πόλιν οἱ Λακεδαιμόνιοι. καὶ ἐκλήθη τοῦτο Μαντιναίων διωκισμός :— 11. δὲ om. 12. ἔθετο. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτως :— 16. Μ. τόπος ἐστὶ τῆς Ἀ. οὗ Δ.—παραγραφῇ μνημονεύει. ἔστι δὲ καὶ πόλις ἐν Θρᾴκῃ, ἥν φησιν (φασὶν Suidas) εἶναι—καλουμένην :—

1. μαλακιζόμεθα] μαλκιζόμεθα D, μακιζόμεθα B.
— ἐν—τὸν] δηλοῖ δὲ τὸ τὸν N.
— γράφεται] γράφομεν A.D.P.Q. Ald. γράφομεν καὶ C.
— μαλκίομεν D. μακίομεν B. μαλακίομεν A.C. Ald.
2. ὄρρον N. ὅρον B.P.Q. ὅρον A.C. Ald.
— Αἰσχύλος] Fragm. 330.
3. ἕλα, δίωκ' ἀκμῆτι Hermannus. Libri ἐλλαδίῳ (ἐλαδίω A.Q.) κεκμῆτι. Imperativum ἕλα jam Valesius restituit.
— μαλκίων] μαλακίων B. C. N. Ald.
— ποδί] ποδὶ ἤτοι πορείᾳ N.
4. ΜΑ'ΛΘΗ] μαλθαι B.C.
— Δημοσθένης] p. 1132, 13.
6. τρόπιν Maussacus pro τρόπην.
— παραχρίσας] χρίσας A. περιχρίσας Valcken. in Thesauro vol. 6. p. 984. recte, ut videtur.
7. Ἰσοκράτης] p. 91 a.
8. Λ.] τῶν λ. B.
9. τὴν om. C.
11. Αἰσχίνης] p. 76, 24. Αἰσχίνης om. B.C.
12. ἔθετο ex Epitome pro ἔθεντο.
— Μαρσύας] μαρσύαν A.
16. ΜΑΡΩ'ΝΕΙΑ] Hanc gl. om. C.
— Δημοσθένης] p. 967, 17.
— παραγραφῇ ex Epitome pro γραφῇ.

ουσι δὲ αὐτῆς Δημοσθένης τε ἐν τῷ πρὸς Πολυκλέα καὶ Ἔφορος ἐν τῇ δ′.

Μασσαλία: Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Μάστειρα: ἐν η′ Φιλιππικῶν Δημοσθένης "τῶν μὲν ἐν Θρᾴκῃ "κακῶν· τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ "Μάστειραν;" μήποτε γραπτέον Βάστειραν ἢ Πίστειραν ἢ Ἐπίμαστον, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ζ′ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ μνήμης τυχοῦσαν.

Μαστῆρες: Ὑπερείδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνέων πολιτείᾳ.

Ματρυλεῖον: Δείναρχος ἐν τῷ κατὰ Προξένου. Ἡρακλέων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι

3. ΜΑΣΣΑΛΙ'Α. Ἰσοκράτης φησὶν—ἀπῴκησαν. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριστοτέλης :— 8. ΜΑΣΤΕΙ'ΡΑ (Μάστηρα Phot.) 9. τίς γὰρ ἂν ἄλλο τις — Δρογγίλον (δρογγύλον D. Δρόγγιλον Phot.) — Μαστείραν (Μάστειρα Phot.). μήποτε δὲ γραπτέον ἀντὶ τοῦ Μαστείραν Βαστείραν ἢ Πιστείραν ἢ Ἐπίμαστον (Μάστειραν ἢ Βάστειραν ἢ Πίστειραν ἢ Ἐπιμαστόν Phot. Et sic Suidas quoque, nisi quod ἢ ante Βάστειραν omittit et Ἐπίμαστον proparoxytonum habet.). ταύτας δὲ τὰς πόλεις (πολιτείας Suidas) — Ἀναξιμένη (—ει Phot. et Suidas) — Μαστείραν (Μάστειραν Phot. et Suidas) οὐδαμοῦ :— 12. ΜΑΣΤΗ͂ΡΕΣ. ἀρχή τις ἀποδεδειγμένη ἐπὶ τὸ (τῷ Phot. et Suidas)—Πελλήνῃ (Πέλλῃ Suidas) μάστροι (μαστροί Phot.) :— 17. ΜΑΤΡΥΛΕΙ͂ΟΝ. τόπον τινὰ φασὶν εἶναι

1. Δημοσθένης] p. 1213, 3.
3. Ἰσοκράτης] p. 133 c.
— ἐν om. B.
5. ἀπῴκησαν] ἀπῴκισαν B.C. Ald.
— ἤδη om. C.
— Φωκαέων] φωκέων B.C. φωκαίων Ald.
8. η′] ὀγδόῃ A.B.C. Ald.
— Δημοσθένης] p. 100, 22.
9. Δρογγίλον] δρογγύλον B.C.
11. ζ′] ἑβδόμῳ Ald. η′ C.
14. τὸ—τοῦ δήμου] τῷ—τῷ δήμῳ B.C.G.
15. Πελληνέων Valesius. Libri πελληνίων.
17. ΜΑΤΡΥΛΕΙ͂ΟΝ] Alterum λ superscriptum in N., qui infra quoque ματρυλλείῳ habet. Utriusque scripturæ testes et exempla v. in Thesauro s. v. Μαστρύλλιον vol. 5. p. 609.
— Ἡρακλέων] ἡρακλείων B. C. Ald.
18. τινὰ om. B.C.
— φασιν] φησιν C.

δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι· Μένανδρος Ἐπιτρέπουσιν

οὐκ οἰμώξεται
καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον;

Μαύσωλος: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ὄνομα κύριον, ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα.

Μαχάτας: ὄνομα κύριον.

Μέδιμνος: Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν ἢ κριθῶν, ἔχει δὲ χοίνικας μη΄, καθά φησι Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τοῖς ἐξηγητικοῖς τῆς Ἀττικῆς διαλέκτου.

Μεθώνη: Δημοσθένης Φιλιππικοῖς. λέγοι ἂν τὴν ἐν Θρᾴκῃ, ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. Δημήτριος δ᾽ ὁ Μάγνης ἐν ταῖς Συνωνύμοις πόλεσι τέσσαρας εἶναί φησι Μεθώνας.

Μεῖον καὶ μειαγωγός: Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα "παρέ-"στησε μεῖον." θῦμά ἐστιν ὃ τοῖς φράτορσι παρεῖχον οἱ τοὺς παῖδας εἰσάγοντες εἰς τούτους. Ἐρατοσθένης δ᾽ ἐν τοῖς περὶ κωμῳδίας φησὶν οὕτως "νόμου ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένου τινὸς, ἐπι-"σκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον ἔφασαν εἰσά-

4. καταφθαρεὶς] κατατρεῖς E.T. et Suidas. καταφθερεῖσθαι D. Totam gl. om. Phot., alia substituta. 5. ΜΑΥΣΩΛΟ'Σ (Μαύσωλος Phot. et Suidas) ἄρχων 9. ΜΕ'ΔΙΜΝΟΣ. μέτρον ἐστὶν ξηρὸν—χοίνικας ἢ καὶ μ:— Apud Photium breviter μέδιμνον: μέτρον χοινίκων μη:— Sic etiam Suidas in initio alius glossæ, post quam idem μέδιμνον. μέτρον ἐστὶ ξηρῶν—κριθῶν, ut apud Harpocrationem. 12. Δ. ἐν Φ.—ὀφθαλμόν. τέσσαρας δὲ εἶναί φησιν Μεθώνας Δημήτριος ὁ Μάγνης:— 15. Στ. φησὶν παρέστη μεῖον. θῦμα δέ ἐστιν 17. Ἐρατοσθένης—ἔφασαν εἰσάγειν om.

4. καταφθαρεὶς N. καταφθαρεῖσθε A.B.C. Ald. καταφθαρῆσθε G. Veræ scripturæ vestigium superest in corruptela Epitomes κατὰ τρεῖς.

5. ΜΑΥ'ΣΩΛΟΣ] μαυσωλός A. B. Ald.

— Δημοσθένης] p. 703, 22.

8. ΜΑΧΑ'ΤΑΣ. ὄνομα κύριον] Hanc gl. vulgo ante Μαύσωλος lectam huc transposui ubi habet Epitome. Abest a B.C. Nulla hujus nominis exempla reperiuntur in oratorum scriptis quæ supersunt.

9. κατὰ om. A.C. Ald.

10. ξηρῶν] ξηρὸν A.N.

10. οἷον] ἢ B.

— ἔχει δὲ χοίνικας μή] χωρῶν χοίνικας η΄ καὶ μ΄ N.

11. Θυατειρηνὸς Maussacus. θυατηρινὸς libri, nisi quod θυατήρηνὸς (ει supra) N.

12. Δημοσθένης] p. 11, 17.

13. δ᾽ om. B.C.

15. ΜΕΙ'ΟΝ—παρέστησε om. B.C.

16. ἐστιν om. C.

18. νόμου ὄντος om. B.C.

— ἐπισκώπτοντες μετὰ παιδιᾶς Valesius. ἐπισκώπτοντα (—τας C.) μετὰ παιδείας libri.

"γειν, ὅθεν τὸ μὲν ἱερεῖον μεῖον προσηγορεύθη, μειαγωγὸς δὲ ὁ εἰσά-"γων." Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν "οἱ φράτορές" φησιν, "ἵνα "μείζονας νέμωνται μερίδας, ἐφώνουν ἑστῶτες ἱστάνειν δεῖν, μεῖον "γάρ ἐστι." περὶ δὲ τοῦ μειαγωγοῦ Εὔπολις ἐν Δήμοις

τοιγαροῦν στρατηγὸς οὐδεὶς ἐξ ἐκείνου τοῦ χρόνου
ἐδύναθ', ὥσπερ μειαγωγὸς ἑστιῶν ᴗ – ᴗ –
– ᴗ – τῆς τοῦδε νίκης πλεῖον' ἑλκύσαι σταθμόν.

ΜΕΙΑΓΩΓῆΣΑΙ δέ ἐστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς.

Μελανίππειον: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος. Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐστιν, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδουμένοις. Κλείδημος δ' ἐν α' Ἀτθίδος ἐν Μελίτῃ αὐτὸ εἶναι λέγει.

Μελάνωπος: Δημοσθένης κατ' Ἀνδροτίωνος. ὄνομα κύριον, κηδεστὴς Διοφάντου τοῦ ῥήτορος.

Μελίνη: Δημοσθένης Φιλιππικοῖς. ὀσπρίου ἐστὶ σπέρμα, καὶ ἀρσενικῶς λέγουσι· θηλυκῶς δὲ Σοφοκλῆς Τριπτολέμῳ "κνήμη με-

1. ὅθεν τὰ μὲν ἱερεῖα μειῶν (μεῖον D. Phot. et Suidas) προσηγορεύθη:— μειαγωγὸς δὲ (δὲ om. Phot. et Suidas et omittere debuerunt in glossa a præcedentibus separata.)—Ἀπολλόδωρος δὲ (δὲ om. Phot. et Suidas) ἐν τοῖς —οἱ (ὅτι οἱ Suidæ codex A.) φράτορες, ἵνα μείζους (μείζονος Phot.) νέμωνται (νέμωνται om. Phot.) μερίδας (μερίδος Phot.) ἐπεφώνουν ἑστῶτες κτανεῖν δεῖν (δεῖος Phot. δεῖ ὃς Suidæ codices.). μεῖον γάρ ἐστιν. μειαγωγῆσαι δέ ἐστιν τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον :— 10. ΜΕΛΑΝΙ'ΠΠΙΟΝ. Μελανίππου—ἐστιν :— 13. ΜΕΛΑΝΩΠΟ'Σ (Μελάνωπος Suidæ ed. Mediol.). οὗτος κ. ἦν Δ. τοῦ ῥήτορος :— 15. ἐν Φιλιππικῷ. ὄσπριόν ἐστιν, ὅπερ καὶ

1. τὸ μὲν ἱερεῖον N. Ceteri τὰ μὲν (μὲν om. D.) ἱερεῖα.

— μεῖον π.] π. μεῖον A.

— δὲ om. C.G.

3. ἑστῶτες] περιεστῶτες dixit schol. Aristoph. Ran. 802.

5. οὐδεὶς in libris post χρόνου positum huc transposui. Ante στρατηγὸς collocaverat Blancardus.

6. ἐδύναθ' Bergkius Comment. p. 348. Libri δύναται.

— ἑστιῶν — τῆς τοῦδε] Indicavi septem syllabarum defectum. Probabiliter H. Jacobi apud Meinek. vol. 1. p. 172. ed. minoris hæc sic correxit et supplevit ἱστάνων τὰ πράγματα | τῷ ζυγῷ τῆς τοῦδε—. Si recte legatur ἑστιῶν, accusativum τοὺς φράτερας addendum esse conjecerat Meinek. vol. 2. p. 456. ed. majoris.

7. σταθμόν] θυμόν B.C.

12. δ' om. B.

13. ΜΕΛΑ'ΝΩΠΟΣ] Scribebatur Μελανωπός. Rectum accentum habent libri Demosthenis testaturque Theognostus Canon. p. 69, 24.

— κατ' Ἀνδροτίωνος] Immo κατὰ Τιμοκράτους p. 703, 21. 740, 9.

15. Δημοσθένης] p. 100 extr. et ubi hic locus repetitur p. 135, 27.

16. ἀρσενικῶς] ἀρρενικῶς N.

— Σοφοκλῆς] Fragm. 534.

— Τριπτολέμῳ Maussacus pro Τριπτολέμου (τριπολέμου B.)

— κνήμη] μνήμη B.C.G.

"λίνης" καὶ Ἡρόδοτος "σπείροντες μελίνην." Ξενοφῶν Ἀναβάσεως α' "καὶ σίτου καὶ μελίνης," ἐν δὲ τῷ αὐτῷ "πολὺν δὲ σήσαμον καὶ "μέλινον" καὶ ἐν ϛ' "καὶ ὄσπρια πάντα καὶ μελίνους." ἔνιοι μὲν οὖν εἶδος κέγχρου νομίζουσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον· Θεόφραστος δὲ ἐν ζ' περὶ φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, "κέγχρον ἢ μελίνην ἢ ἔλυμον."

Μελίτη: Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. δῆμός ἐστι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ' ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.

Μένδη: Δημοσθένης κατὰ Λακρίτου. μία πόλις ἐστὶ τῶν ἐν Παλλήνῃ Μένδη, ὑπὸ Ἐρετριέων ᾠκισμένη.

Μενέλαος: Δημοσθένης Φιλιππικοῖς. ἀδελφὸς Φιλίππου ὁμοπάτριος.

ἀρσενικῶς λέγεται. Σοφοκλῆς μὲν γὰρ καὶ Ἡρόδοτος καὶ Ξενοφῶν θηλυκῶς εἶπον μελλίνην (μελίνη Phot. duoque libri Suidæ). Ξενοφῶν δὲ ὁ αὐτὸς ἐν Ἀναβάσει καὶ μέλλινον καὶ μελλίνους (μέλινον καὶ μελίνους Phot.) εἶπεν. (Sequentia om. D.) ἔνιοι δὲ εἶδός τι κέγχρου (κεγχρίου Suidas)

4. et 6. μελίνην] μελλίνην (μελίνην Suidas) 7. δῆμος δέ (δέ om. Suidæ codex A.) ἐστι τῆς Κ. ὀνομασθεὶς ἀπὸ Μελίτης κατὰ μὲν Ἡσίοδον θυγατρὸς Μύρμηκος, κατὰ δὲ 11. ΜΕ'ΝΔΗ. πόλις μία τῶν ἐν Πελλήνῃ Μένδη ὑπὸ Ἐρετριέων ᾠκισμένη (ἀπῳκισμένη D.):— Aliam gl. habet Photius. 13. Δ. Φ.] Δ. ἐν Φ.

1. Ἡρόδοτος] 3, 117.

— σπείροντες μελίνην] σπείροντος μελίνης B.C.G.

— Ξενοφῶν—μελίνης om. B.C.G.

— Ἀναβάσεως α'] c. 5, 10. ubi legitur ἐλάμβανον—σῖτον μελίνης.

2. ἐν δὲ τῷ αὐτῷ] 1, 2, 22. ubi legitur πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην.

— πολὺν] πολλὴν B.

— σήσαμον καὶ μέλινον] σίσαμον καὶ μελίνην C.

3. καὶ ἐν—μελίνους om. C.

— ἐν ϛ'] c. 4, 6. ubi nunc μελίνας. Vitiosa quam Harpocratio, sive quem is sequitur grammaticus, in exemplari suo Xenophontis reperit scriptura μέλινον et μελίνους induxisse eum videtur ut formam fingeret masculinam μέλινος, quam nullam fuisse recte judicare videtur Schneiderus ad Theophrast. vol. 5. p. 446.

3. μελίνους] μελίνη Ald. μελίνα B. μέλινα G.

4. οὖν om. B.C.

— τινὰς—ἔλυμον] τινὲς ἔλυμον ὀνομάζουσι N.

4. 6. ἔλυμον] ἔλυμνον A.

5. δὲ om. B.C.

— ἐν ζ'] Immo Hist. Pl. 8, 1, 1.

7. Δημοσθένης] p. 1258 extr.

9. θυγατρὸς om. C.

11. Δημοσθένης] p. 926, 1. 929, 15. 935, 9.

— π. ἐστὶ] ἐστὶ π. C.

12. Παλλήνῃ] πελλήνῃ B. cum Epitome.

13. Δημοσθένης] p. 47, 21.

Μεσεγγύημα: τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. καὶ μεσεγγυήσασθαι τὸ ποιῆσαι τοῦτο λέγεται, ὡς ὑποσημαίνει Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Μεταγειτνιών: Ὑπερείδης ἐν τῷ ὑπὲρ Ξενίππου. ὁ δεύτερος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται. ἐν δὲ τούτῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύουσιν, ὡς Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν.

Μεταλλεῖς: Λυσίας ἐν τῷ πρὸς Διοχάρη, εἰ γνήσιος. οἱ τὰ μέταλλα ἐργαζόμενοι μεταλλεῖς ὀνομάζονται. ἔστι δὲ καὶ δρᾶμα Φερεκράτους Μεταλλεῖς, ὅπερ Νικόμαχόν φησι πεποιηκέναι Ἐρατοσθένης ἐν ζ' περὶ τῆς ἀρχαίας κωμῳδίας.

Μεταπύργιον: Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων μεταπύργιον ἐλέγετο. οὕτω καὶ Θουκυδίδης πολλάκις, ὥσπερ ἐν τῇ γ'.

Μετοίκιον: Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας. μέτοικος μέν ἐστιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ καὶ μὴ πρὸς ὀλίγον ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν οἴκησιν αὐτόθι καταστησάμενος. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαστον ἔτος δραχμαὶ ιβ', ὅπερ ὠνόμαστο μετοί-

3. λέγεται:— Aliam gl. habet Photius. 4. ΜΕΤΑΓΕΙΤΝΙΩ'Ν. δεύτερος μὴν παρὰ Ἀ. ἐν δὲ τούτῳ—θύουσιν:— 7. ΜΕΤΑΛΕΙ'Σ. οἱ τὰ μέταλα (μεταλλεῖς—μέταλλα Suidas) ἐργαζόμενοι οὕτως ὀνομάζονται (οὕτως ὀν. om. Phot.):— 11. Λυσίας—εὐεργεσιῶν om. τὸ om. Phot. et Suidas. 13. καὶ Θουκυδίδης καὶ Λυσίας:— 14. Ὑπερείδης—Ἀρισταγόρας om. 16. ἐπιδημῶν ὡς ξένος. ἐδίδοντο 17. ὠνόμασται μετοίκιον. Ἰσαῖος δ' ἐν

3. Αἰσχίνης] p. 71, 18.

4. ὑπὲρ Ξενίππου] Oratio ab nemine memorata: exstat vero Hyperidis oratio ὑπὲρ Εὐξενίππου εἰσαγγελίας ἀπολογία, nuper a Babingtono Cantabrigiæ edita. Hinc in promptu foret ὑπὲρ Εὐξενίππου Harpocrationi restituere, si Μεταγειτνιῶνος nomen in ea legeretur, quod non legitur. Quanquam vel sic fieri potest ut verum sit Εὐξενίππου, de quo pluribus conjecturis locus est. Nec mirum si Εὐξενίππου nomen in Ξενίππου corruptum fuerit. Nam Εὐξενίππου nomen ex rarioribus est. Euxenippum archontem olymp. 118, 4. memorant Diodor. 20, 81. et Dionys. Hal. de Dinarcho c. 9.

4. ὁ δεύτερος N. Aberat ὁ.

5. Μεταγειτνίῳ] μεταγειτνιῶνι B. C.

7. Διοχάρη] διοχάρην B.

— τὰ additum ex N. et Epitome.

9. ὅπερ] ὥσπερ B.C.

—πεπ. Ἐρ.] ἐρ. πεπ. C.

13. ἐν τῇ γ'] c. 22.

14. Ἀρισταγόρας] ἀρισταγόρου A. B. Ald.

16. καταστησάμενος Saupp.Fragm. p. 280. Legebatur κατακτησάμενος.

17. ιβ'] Non decem, ut apud Hesychium scriptum est: v. Boeckh. Œc. vol. 1. p. 446.

—ὠνόμαστο] ὠνόμασται B.C. Ald. cum Epitome.

κιον, ὡς δηλοῖ Εὔβουλος ἐν τῇ Πλαγγόνι. Ἰσαῖος δ' ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους ὑποσημαίνει ὅτι ὁ μὲν ἀνὴρ ιβ' δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ϛ', καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος ἡ μήτηρ οὐκ ἐτέλει· μὴ τελοῦντος δ' ἐκείνου αὐτὴ τελεῖ. ὅτι δὲ καὶ οἱ δοῦλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλουν τὸ μετοίκιον ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι καὶ Ἀριστομένης. Μένανδρος δ' ἐν Ἀνατιθεμένῃ καὶ ἐν Διδύμαις πρὸς ταῖς ιβ' δραχμαῖς καὶ τριώβολόν φησι τούτους τελεῖν, ἴσως τῷ τελώνῃ. οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τοὺς πωλητάς, καὶ εἰ ἑάλωσαν ἐπιπράσκοντο, ὥς φησι Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. ἐνεβίβαζον δὲ καὶ εἰς τὰς ναῦς τοὺς μετοίκους, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν Φιλιππικοῖς δηλοῖ. ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι.

Μετοιωνίσασθαι: ἀντὶ τοῦ μεταθέσθαι τὸν φαῦλον οἰωνὸν Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους.

Μετρονόμοι: ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. ἦσαν δὲ τὸν ἀριθμὸν ι', ε' μὲν

4. ἐκείνου om. αὐτὴ] αὕτη τελεῖ—δοῦλοι] ἐτέλει. καὶ (καὶ om. Suidas) οἱ δοῦλοι δὲ 5. μετοίκιον. Μένανδρος δέ φησιν πρὸς ταῖς 7. φησι om. 8. τὸ μετοίκιον μὴ τιθέντες 9. πολίτας, καὶ εἰ ἑάλοντο (sic etiam Phot. et libri Suidæ deteriores, ἑάλωντο meliores) ὥς—Ἀριστογείτονος om. 11. ὁ αὐτὸς ῥήτωρ] Δημοσθένης 14. οἰωνόν:— 16. ἐστὶν om. 16. ἡ] οἱ ὡς—Καλλισθένους om. 17. τὸν ἀριθμὸν ιε' μὲν (δεκαπέντε μὲν Phot. quod divisim scribi debebat δέκα, πέντε μὲν) εἰς Πειραιᾶ, θ' (ἐννέα Phot. ι' Suidæ codex Leid.) δὲ εἰς ἄστυ

8. Πλαγγόνι Salmasius. πλαγγῶνι B.C. Ald. πλαγῶνι A.
3. ἡ μήτηρ] ἐκείνη C.
4. τ. δ'] δὲ τ. B.
6. Μένανδρος δ' ἐν om. B.C.
8. τιθέντες] τιμηθέντες B.
9. πωλητὰς Valesius. πολίτας libri.
10. Δημοσθένης] p. 787 extr.
11. ὁ om. B.
— ἐν Φιλιππικοῖς] p. 50, 22.
14. Δείναρχος] p. 101, 45. et p. 94, 5.
16. Ἀ. ἐστιν] ἐστιν ἀ. B.
17. κατὰ om. B.C.
— τὸν ἀριθμὸν ι', ε' μὲν εἰς Πειραιᾶ, ε' δ' εἰς ἄστυ] Legebatur τὸν ἀριθμὸν ιε' (πεντεκαίδεκα Ald.), εἰς μὲν τὸν Πειραιᾶ ι' (δέκα Ald.), ε' (πέντε Ald.) δὲ εἰς ἄστυ. Correxi Epitomes ope. Similiter ἀγορανόμους, ἀστυνόμους et σιτοφύλακας quinque in urbe totidemque in Piræeo constitutos fuisse tradit Harpocratio: de quibus omnibus Vœmelius in Bergkii Ephem. antiq. a. 1852. p. 31. rectius judicavit quam Boeckhius Œc. vol. 1. p. 70. et 118., qui hoc loco vulgatam probavit scripturam transpositis tantum numeris ι' et ε' hunc in modum, εἰς μὲν τὸν Πειραιᾶ πέντε, δέκα δ' εἰς ἄστυ, cui non solum Epitomes, sed etiam duorum ali-

εἰς Πειραιᾶ, ε΄ δ' εἰς ἄστυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ.

Μέταυλος: Λυσίας ἐν τῇ ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου ἀπολογίᾳ. μέταυλός ἐστιν ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν· Ἀριστοφάνης Λημνίαις καὶ Μένανδρος Θαΐδι.

Μηκύβερνα: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου. πόλις ἐστὶν ἐν Θρᾴκῃ σταδίους κ΄ ἀπέχουσα τῆς Ὀλύνθου ἡ Μηκύβερνα.

Μηλόβιος: Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους. ἔστι δὲ εἷς τῶν λ΄ τῶν παρ' Ἀθηναίοις τυραννησάντων.

Μητρῷον: Λυκοῦργος ἐν τῷ κατ' Ἀριστογείτονος. τοὺς νόμους ἔθεντο ἀναγράψαντες ἐν τῷ μητρῴῳ· δηλοῖ Δείναρχος ἐν τῷ κατὰ Πυθέου.

Μίκων: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας "καὶ Μίκωνα τὸν "γράψαντα καταδεῶς τοὺς Ἕλληνας ἐζημίωσαν."

2. πωλούντων :— 4. ΜΕ'ΤΑΥΛΟΣ—ἀπολογίᾳ om. 5. ἐστιν om. ἦσαν :— 7. Ὑπερείδης—Δημάδου om. 9. ΜΗΛΟ'ΒΙΟΣ. εἷς τῶν—τυραννησάντων, οὗ (οὗ om. Phot.) Ὑπερίδης ἐν τῷ κ. Α. μέμνηται :— 12. ἀναγράψαι ἐν τῷ μ. :— 14. ΜΗ'ΚΩΝ. ὄνομα κύριον :— Omiserunt gl. Photius et Suidas.

orum grammaticorum auctoritas obstat, Lexici rhet. Bekk. p. 278, 25. μετρονόμοι: ἀρχή τις Ἀθήνησι κληρωτὴ ἡ τῶν μετρονόμων, δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἦσαν ἐν τῷ Πειραιεῖ, πέντε δὲ ἐν ἄστει. οὗτοι δὲ τὴν ἐπιμέλειαν εἶχον ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων. et Photii p. 264, 25. μετρονόμοι ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ. καὶ εἶχον τὴν ἐπιμέλειαν ὅπως — πωλούντων. Ratio autem qua Boeckhius utitur ut numerum majorem urbi, minorem Piræeo vindicet, etsi aliquam veri speciem habet, non est tamen ejusmodi ut propterea antiqua codicum lectio recentis correctoris interpolationi posthabenda videatur, quum præsertim manifesta sit origo erroris. Nam quum in veteribus codicibus scriptum esset ΗΣΑΝΔΕΤΟΝΑΡΙΘΜΟΝΙΕΜΕΝΕΙΣ ΠΕΙΡΑΙΑΕΔΕΙΣΑΣΤΥ, quod est ἦσαν δὲ τὸν ἀριθμὸν ι΄, ε΄ μὲν εἰς τὸν Πειραιᾶ, ε΄ δ' εἰς ἄστυ, id autem male lectum esset ἦσαν δὲ τὸν ἀριθμὸν ιε΄, μὲν εἰς Πειραιᾶ, ε΄ δ' εἰς ἄστυ, consequens erat ut corrector aliquis μὲν transponeret post εἰς numerumque denarium post Πειραιᾶ inferret. Plane eodem modo eademque de caussa, sed non obliterato ut hic errore, peccatum est s. v. σιτοφύλακες et in numero φν΄ (pro φ΄ et ν΄) in libris Epitomes s. v. πρυτάνεις.

1. ᾖ ex Epitome pro εἴη.

4. Λυσίας] p. 93, 19.

6. Ἀριστοφάνης] Fragm. 338.

— Λημνίαις] λημνείαις A.B. Ald.

10. τῶν om. A.

11. νόμους ex Epitome pro νόθους.

14. ΜΙ'ΚΩΝ—Μίκωνα Blancardus. Libri μήκων—μήκωνα. Mico intelligendus pictor celeberrimus, Polygnoti æqualis, de quo post alios dixerunt Sillig. in Catalogo artificum p. 275. et O. Jahnius in commentat. archæol. p. 17.

Μόλπις: Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους κλήρου φησὶ "Μόλ-" "πις ὁ τῶν ι′ τῶν ἐν Πειραιεῖ." οἱ δ' ἄρα κατὰ τοὺς λ′ δέκα ἄνδρες ἦρχον ἐν Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μόλπις, ὡς Ἀνδροτίων ἐν γ′ Ἀτθίδος.

Μοιροκλῆς: ὄνομα κύριον, Σαλαμίνιος, τῶν παρ' Ἀθηναίοις οὐκ ἀφανῶς πολιτευσαμένων.

Μοιρολογχῆσαι: ἀντὶ τοῦ μέρους μεταλαβεῖν Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ.

1. ΜΟΛΠΙ'Σ (Μόλπης Phot.). μετὰ τοὺς λ′ ι′ ἄνδρες ἦρχον ἐν τῷ Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μολπίς (Μόλπης Phot.):— 4, 5. Hanc gl. post proximam collocat. 4. ΜΥΡΟΚΛΗ'Σ. Σ. τὸ γένος, τῶν π. Ἀ. οὐ καταπολιτευσαμένων (οὐ καλῶς π. Photius. οὐκ ἀφανῶς π. Suidas, libris aliquot οὐκ ἄπο π. præbentibus):— 6. ΜΟΙΡΟΔΙΚΗ'ΣΑΙ (–δοκῆσαι Suidas; totam gl. om. D. et Phot.)

P. 205, 15. καταδεῶς τοὺς Ἕλληνας Saupp. Fragm. p. 265. Libri ἕως τοὺς λ′ (vel τριάκοντα ut Ald.) μῆνας. Miconem mulctatum ab Atheniensibus esse quod in pictura pugnæ Marathoniæ barbaros Græcis majores pinxerat narrat Sopater in Walzii Rhet. vol. 8. p. 126. μετὰ Μαραθῶνα Μίκων ὁ ζωγράφος τοὺς βαρβάρους γράψας μείζους τῶν Ἑλλήνων κρίνεται. μῆνας in μνᾶς mutaverat Maussacus, in μναῖς Meierus in Vita Lycurgi p. cxxxix.

— ἐζημίωσαν] ἐζημίωσας B.C.

P. 206, 1. τοῦ om. C.

— κλήρου addidit Sauppius. Sic Harpocratio ipse hanc orationem citat s. v. δέκα καὶ δεκαδοῦχος.

2. τῶν ι′ addidit Sauppius. "Decemviros enim a Lysia ipso commemoratos fuisse Harpocrationis verba videntur docere. De his decemviris Piræensibus, sæpe cum prioribus illis commutatis, cf. Vales. ad h. l. Taylor. V. Lysiæ p. 105. Meier. de bonis damn. p. 187. Scheibius in libro de rerum ordine Athenis ab optimatibus turbato p. 67." SAUPP. Fragm. p. 184.

— οἱ δ' Maussacus. Libri ἐκ δ'.

— κατὰ pro μετὰ Kusterus ad Suidam, cujus emendatio confirmatur Lex. rhet. Bekk. p. 235, 32. δέκα ἦσάν τινες ἐν Πειραιεῖ οἱ ἄρχοντες κατὰ τὴν τυραννίδα τῶν τριάκοντα.

2. ἄνδρες] ἄρχοντες A. Ald.

3. ἦρχον] ἦσαν C.

— γ′] πέμπτῃ C.

— Sequebatur, Μόθων, φλύαρος, φορτικός, ἄτιμος, αἰσχρός. λέγουσι γὰρ τοὺς Ἀθηναίους χειρωσαμένους τοὺς Μόθωνας δουλικῇ καὶ ἀγεράστῳ (καὶ ἀστεράστω B. κἀνεράστω C.) περιστῆσαι τύχῃ. ὅθεν καὶ Ἀττικοὶ Μόθωνες, ἢ ἀπὸ Μόθωνός τινος αἰσχρὰ ποιοῦντος καὶ ἀεὶ (ἀεὶ om. C.) ἐν (καὶ ἐν B. G.) τοῖς πότοις (τόποις O.) ὀρχουμένου. Μόθωνας δὲ καλοῦσι Λάκωνες τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις παῖδας. ἢ ἀντὶ τοῦ ἀνόητος. ἄλλοι δὲ λέγουσι δουλοπρεπεῖς σπερμολόγους. Recte hæc om. Epitome. Nam illata sunt ex schol. Ar. Pl. 279. pariter atque illa quæ de κοβάλοις post Κοτύλαιον illata supra notavimus.

4. 5. om. B.C.

4. Μοιροκλῆς] Memoratur aliquoties ab Demosthene.

6. Hanc gl. om. A., post proximam habet B.

— ΜΟΙΡΟΛΟΓΧΗ'ΣΑΙ] Legebatur μοιροδικῆσαι, quod μοιροδοκῆσαι scriptum ap. Suidam. Correxi cum Valesio ex Polluce 4, 176, qui μοιρολοχῆσαι ex Antiphonte attulit, quod μοιρολογχῆσαι scribendum esse monuit Valck. ad Herodot. 7, 53. Vid. de hoc verbo L. Dindorf. in Thesauro vol. 5. p. 1138.

Μουνυχία: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δὲ ἐν β' Ἀτθίδος ὠνομάσθαι φησὶν ἀπὸ Μουνύχου τινὸς βασιλέως τοῦ Παντακλέους.

Μουνυχιών: Ὑπερείδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. ὁ δέκατος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται, ἐν δὲ τούτῳ τῷ μηνὶ Ἀρτέμιδι θύεται Μουνυχία.

Μουσαῖος: Λυσίας πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος, "καὶ δύο παῖδας αὐτῷ ἀκολούθους εἶναι, ὧν οὗτος τὸν μὲν Μουσαῖον "καλεῖ, τὸν δὲ Ἡσίοδον." ὅτι μὲν ὁ κρινόμενος ἐπετήδευσε τοὺς οἰκέτας οὕτω καλεῖν δῆλον· περὶ δὲ Μουσαίου Ἀριστόξενος ἐν τοῖς Πραξιδαμαντείοις φησὶν ὅτι οἱ μὲν ἐκ Θρᾴκης εἰρήκασι τὸν ἄνδρα εἶναι, οἱ δὲ αὐτόχθονα ἐξ Ἐλευσῖνος. εἰρήκασι δὲ περὶ αὐτοῦ ἄλλοι τε καὶ Γλαῦκος.

Μόραν: Δημοσθένης Φιλιππικοῖς. συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. φησὶ δὲ ὡς εἰσὶ μόραι ἓξ ὠνομασμέναι, καὶ

4. Ὑπερείδης—Ξενοφίλου om. 5. οὕτω καλεῖται om. ἐν δὲ τούτῳ Ἀρτέμιδι ἔθυον Μουνυχίᾳ:— 7. εἰ om. 9. ἐπετήδευε 10. οὕτω] τοῦτο Ἀριστόξενος—φησὶν ὅτι om. 12. Ἐλευσῖνος:— 14. ΜΩ'ΡΩΝ (μωρῶν Phot. μορῶν Suidas, cujus gl. om. codex A). Δ. ἐν Φ.—οὕτως (οὕτω Phot. et Suidas). φησὶν δὲ Ἀ.—μοῖραι ς' (ἑπτὰ Phot.)—μοίρας—Ξενοφῶν δέ φησιν ἐν τῇ Λακεδαιμονίων (Λακώνων Phot. et Suid.) πολιτείᾳ. ἑκάστη—μώρων (μωρῶν Phot.)—πολέμαρχον ἕνα (μόναρχον ἕνα Suidas, sed πολέμαρχον ἐν πρώτῳ codex Leid., ἕνα pro ἐν α' accepto)—πεντηκοστύας η', ἐννομοτάρχας (sic Suidæ cod. Leid.) ἑκκαίδεκα:—

1. Δημοσθένης (διογένης B. C.)] p. 262, 17.

2. β'] τῇ δευτέρᾳ Ald. δευτέρῳ D. E loco Hellanici, quem excerpserat Diodorus Siculus, plura attulit schol. Demosthen. vol. 8. p. 299, 7.

3. Μουνύχου Blancardus, ut ap. schol. Demosth. scriptum est. μουνυχίου libri.

— Παντακλέους] πεντακλέους B.C. G.

9. μὲν om. B.

10. οὕτω καλεῖν om. C.

— ἐν τοῖς Πραξιδαμαντείοις (sic correxi quod in libris est πραξιδαμαντίοις) om. B.C. De argumento hujus libri, qui nusquam alibi memoratur, diversæ sunt Reinesii et Jonsii sententiæ: v. Mahn. in Diatribe de Aristoxeno p. 128.

11. οἱ om. C.

13. Γλαῦκος] Rheginus in libro περὶ ἀρχαίων ποιητῶν καὶ μουσικῶν, cujus fragmenta collegit Mueller. in Histor. Fragm. vol. 2. p. 23.

— Γλαῦκος. ΜΟ'ΡΑΝ] γλαῦκος ὁ μόρων A.

14. ΜΟ'ΡΑΝ Bekkerus ex Demosth. p. 172, 26. Libri μόρων, quod saltem μορῶν esse debebat ut scriptum apud Suidam.

15. Λακεδαιμονίων] ἀθηναίων B.C.

16. μόραι Bekkerus. Libri vel μοῖραι, quod est in A. et Ald., vel μοῖρα, quod habent B.C.G.

— ἓξ ὠνομασμέναι] ἓξ om. Ald. ἐξωνομασμέναι C. ἐξωνομασμένα B.G.

— καὶ δ.] δ. δὲ B.C.G.

διῄρηνται εἰς τὰς μόρας Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δὲ ἐν τῇ Λακώνων πολιτείᾳ φησὶν "ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πο-"λέμαρχον ἕνα, λοχαγοὺς δ', πεντηκοστύας η', ἐνωμοτάρχας ιϛ'."

Μυλωθρός: ὁ μυλῶνα κεκτημένος καὶ ἐργαζόμενος ἐν αὐτῷ· Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους πολλάκις. ἔστι δὲ καὶ παρὰ τοῖς κωμικοῖς πολὺ τοὔνομα.

Μύριοι ἐν Μεγάλῃ πόλει: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων πολιτείᾳ, ἀρχόμενος τοῦ βιβλίου.

Μύρτανον: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. φρούριον ἦν ἐν Θρᾴκῃ, ὡς Μαρσύας ὁ πρεσβύτερος ἐν ζ' Μακεδονικῶν καὶ Ἀναξιμένης ἐν Φιλιππικοῖς.

4. ΜΥ'ΛΟΘΡΟΣ (μύλωθρος Phot. μυλωθρός Suidas)—καὶ ἐ. ἐν αὐτῷ (sic Lex. rhet. Bekk. p. 279. ἐ. ἑαυτῷ Phot. ἐν αὐτῷ om. Suidas):— 7. ΜΥ'ΡΙΟΙ (μυρίοι Phot.) ἐν Μεγαλοπόλει—οἱ ἱστορικοί:— 11. ΜΥΡΤΩ'ΝΙΟΝ (Μυρτόνιον Phot. et Suidas) Δ. ὑπὲρ (ἐν τῷ ὑπὲρ Phot. et Suidas)—Θρᾴκῃ:—

1. μόρας Bekkerus. Libri μοίρας.

— ἐν τῇ Λ. (ἀθηναίων C.) πολιτείᾳ] c. 11, 4.

2. ἑκάστη Ald. ἑκάστω A.B.C.

— μορῶν] Libri μόρων.

— πολέμαρχον] φύλαρχον B.

3. πεντηκοστύας] πεντηκοστῆρας apud Xenophontem. Utrumque vitiosum. Nam vera nominis forma est πεντηκοντῆρας, de qua dixi in Thesauro vol. 6. p. 740.

— ἐνωμοτάρχας] ἐννομοτάρχας B. Ald. ἐνομοτάρχας C.

— ιϛ'] ια' C.

4. μυλῶνα] Epitome. Scribebatur μύλωνα contra regulam Arcadii p. 12, 25. et Theognosti Can. p. 36, 2.

— ἐν addidi ex Epitome.

— Δείναρχος—τοὔνομα] ἔστι καὶ τοὔνομα παρὰ Καλλισθένει καὶ παρὰ τοῖς Ἀττικοῖς πολλάκις B.C.G.

5. κατὰ addidit Maussacus. Idem Καλλισθένους nomen, quod est in libris omnibus, in Δημοσθένους mutavit absurde. Nam quum in oratione contra Demosthenem μυλωθροῦ nomen semel tantum legatur p. 93, 8. Μένωνα τὸν μυλωθρὸν ἀπεκτείνατε, non poterat Dinarchus dici ea in oratione hoc vocabulo usus esse πολλάκις, quod convenit orationi contra Callisthenem, quam totam in re frumentaria versatam esse fragmenta docent ab Sauppio collecta p. 333.

7. Δημοσθένης] p. 344, 13.

9. δὲ] δὲ καὶ B.C.G.

— κοινῇ Ἀρκάδων πολιτείᾳ] κοινὴ cur inscripta fuerit ex præcedentibus verbis colligi potest. Similiter κοινὴ Θετταλῶν πολιτεία inscripta fuit, quam citat Harpocratio s. v. τετραρχία: quæ comparavit Mueller. Fragm. Hist. vol. 2. p. 151.

11. Δημοσθένης] p. 234, 14. ubi Μυρτηνόν, de quo v. quæ dixi in annotatione vol. 5. p. 318.

12. πρεσβύτερος] πρεσβύτης A.C. Ald.

— ἐν ζ' (ζω C.) codices. ἐν ὀγδόῃ Ald.

13. Φιλιππικοῖς Bekkerus. Libri φιλιππικῷ. Conf. s. v. ὁ κάτωθεν νόμος.

Μύρτις: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καταλέγων τοὺς προδεδωκότας ἑκάστην πόλιν φησὶν "Ἀργείους Μύρτις, Τελέδαμος, "Μνασέας." Θεόπομπος δ' ἐν τῇ να' Πασέαν καὶ Ἀμυρταῖον ὀνομάζει τῶν Ἀργείων τοὺς μακεδονίζοντας. ἰδεῖν οὖν εἰ γραφικά ἐστιν ἁμαρτήματα.

Μυσῶν λείαν: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία τίς ἐστιν οὕτω λεγομένη, ἥν φησι Δήμων ἐν α' περὶ παροιμιῶν τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. κέχρηνται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ καὶ Σιμωνίδης ἐν ἰάμβοις.

N.

Ναΐς: ἑταίρα τις· Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, καὶ Ἀριστοφάνης Γηρυτάδῃ. μήποτε δὲ καὶ ἐν τῷ Πλούτῳ, ὅπου φησὶν ὁ κωμικὸς

ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου,

γραπτέον ἦν διὰ τοῦ ν Ναΐς.

1. ΜΥ'ΡΤΗΣ—Ἀργείους:— Μύρτης (in unam gl. hæc conjuncta ap. Suidam; disjuncta habet Phot.)—Μνασαίας (μνασέας Suidas et ab correctore Phot.)—Πασαίαν (sic etiam Suidæ codices. Πασέαν ed. Mediol. πασαία Phot. a pr. manu, πασέα a correctore) 6. ΜΥΣΩ'Ν ΛΕΙ'Α. παροιμία τίς ἐστιν λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τῶν καταδραμόντων (κατὰ δρόμον τῶν primo scriptum in cod. Photii correxit librarius ipse. καταδρομῶν τῶν Suidas)—ἀποδημίαν:— 13. ΝΑΙ'Σ. ἑταίρα τις ἧς μέμνηται Λυσίας καὶ Ἀριστοφάνης:—

1. Δημοσθένης] p. 324, 10.
3. Μνασέας] μνασίας C. Ald.
— τῇ να'] τῇ πεντηκοστῇ πρώτῃ Ald. τῇ ᾱ A.
4. ἰδεῖν οὖν] εἰ δεῖν οὖν A. Fortasse ἰδεῖν οὖν δεῖ scribendum.
— ἐστι post ἁμαρτήματα A.B.
6. Δημοσθένης] p. 248, 23.
— ἐν τῷ om. A.
7. ἐστιν om. A.
— Δήμων] δημῶν Ald. δημοφῶν C. De Demone, proverbiorum interprete, dixit Schneidew. Præf. ad Parœmiogr. vol. 1. p. viii. Eodem, ut conjicere licet, loco de proverbio ἔσχατος Μυσῶν Demo dixerat: vid. schol. Eurip. Rhes. 244.
— ἐν α' B. ἐν α^ω C. G. ἐν πρώτῃ Favorinus s.v. Μυσῶν λεία. ἐν μ' A. ἐν τεσσαρακοστῇ Ald. qui numerus justo major est.
7. περὶ om. C.
9. κατὰ] μετὰ C.
— τὴν] τὴν τοῦ A. Ald.
— ἀποδημίαν:— B.
13—17. Hæc omnia Athenæo 13. p. 592 c. debet Harpocratio. Verba postrema e loco Athenæi Ald. sic interpolavit, γραπτέον ἦν διὰ τοῦ ν ναῒς, καὶ οὐ λαῒς, ὡς καὶ Ἀθήναιος ἐπισημαίνεται:—
14. Γηρυτάδῃ] Fragm. 230.
— Πλούτῳ] v. 179. ubi vide quæ dixi in annotatione vol. 3. p. 52.
16. οὐ Ald. οὐχὶ codices.
17. Delevi verba διὰ τὸν Φιλωνίδην, in libris post Ναΐς addita. Ναῒς post Φιλωνίδην habent B.C., om. G.

Νάννιον: Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ Θάλλον τὸν κάπηλον καταφαγεῖν· ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες καὶ Σοφοκλῆς Ποιμέσιν

ἑωθινὸς γάρ, πρίν τιν' αὐλιτῶν ὁρᾶν,
θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα,
εἶδον στρατὸν στείχοντα παρ' ἁλίαν ἄκραν.

ἔστι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ τῶν ἑταιρῶν τὴν Νάννιόν φησι Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι.

Ναύκληρος: Ὑπερείδης ἐν τῷ περὶ τοῦ ταρίχους οὐ μόνον ὡς ἡ συνήθεια χρῆται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας, ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ πρὸς Ἀριστογείτονα καὶ Σαννυρίων Γέλωτι καὶ Δίφιλος Ἐμπόρῳ.

1. Ὑπερείδης—γνήσιος om. 2. τῶν ἑταιρῶν] αἰγῶν ἑταιρῶν (τῶν ἑταιρῶν Phot. et Suidas, nisi quod apud Phot. hic et infra ἑταίρων)—φασὶν (φησὶν Phot. et Suidas)—Θαλὸν (Θαλλὸν Phot. et Suidas; θαλὸν Suidæ cod. Leid.)—καταφαγεῖν. χαίρουσιν γὰρ αἱ αἶγες τῷ θαλλῷ. ἔστιν δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης—περὶ τῶν ἑταιρῶν—προσσκήνιον (duplici σ etiam Phot.)—εὐμορφωτέραν (sic etiam Phot.) εἶναι:— 11. ἐν—ταρίχους om. 12. χρῆται] κέχρηται ἐπὶ τῷ] ἐπὶ τὸ (ἐπὶ τῷ Phot. et Suidas) 13. συνοικίας:—

1—10. Hæc quoque ex Athenæo 13. p. 587. excerpsit Harpocratio.
2. τῷ] τῇ B.
3. Θάλλον] Libri Θαλλὸν falso accentu, quem correxit Sauppius Fragm. p. 297. egoque corrigere debebam apud Athenæum. Θάλλου nominis exempla ex inscr. ap. Boeckh. vol. 1. p. 320. 368. 370. indicavi in Thesauro.
— ὅτι pendet ab verbo δηλοῖ intellecto, p. 46, 10. 223, 8.
4. Σοφοκλῆς] Fragm. 445.
— Ποιμέσιν Maussacus ex Athenæo. πύλεσιν A.C. Ald. πύλαισιν B.
5. αὐλιτῶν Bekkerus. Legebatur αὐλητῶν, ut apud Athenæum.
6. χιμαίραις Bekkerus. Libri χιλίαις, nisi quod χίλια A. χιμαίρᾳ apud Athenæum.
— νεοσπάδα Casaubonus. Libri νεόπαιδα. Athenæi codex νεὸς παῖδα.
7. παρ' ἁλίαν C. et Athenæus. Ceteri παραλίαν.
— ἄκραν om. Ald.
8. ἔστι] ἔτι B.
— καὶ om. B.C.
9. τῶν om. B.C.
— Προσκήνιον Ald. προσκίνιον A. προσκύνιον B.C.
— ἐπονομάζεσθαι] ὀνομάζεσθαι B.C.
11. Ὑπερείδης] Ad locum Hyperidis respicit Lex. rhet. Cantabr. s. v. ναύκληρος p. 673, 20.
12. μεμισθωμένου] μισθουμένου C.
13. οἰκίας ἢ συνοικίας] οἰκίαν ἢ συνοικίαν Sauppius Fragm. p. 282. In numero plurali consentit Lex. rhet. Cantabr.
— ὁ om. B.
14. Ἐμπόρῳ Maussacus. ἐν πόρω A.C. ἐν πόρρῳ B. Ald.
— Σαννυρίων Maussacus. Libri σαννιρίων.

Ναυκραρικά: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. μήποτε δὲ βέλτιον φέρεται ἐν τοῖς Ἀττικιανοῖς Ναυκρατιτικά, ἵν' ᾖ ἀπὸ Ναυκρατιτικοῦ πλοίου ἢ Ναυκρατιτῶν ἐμπλεόντων· ἡ γὰρ Ναύκρατις τὸ παλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτου. ἐὰν δὲ ᾖ ναυκραρικὰ, εἴη ἂν τὰ τῶν ἀρχόντων· ναυκράρους γὰρ τὸ παλαιὸν τοὺς ἄρχοντας ἔλεγον, ὡς καὶ ἐν τῇ ε' Ἡρόδοτος δηλοῖ. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶ "κατέστησαν δὲ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς "πρότερον ναυκράροις." [δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησαν.]

Ναυτοδίκαι: Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, εἰ γνήσιος ὁ λόγος. ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι· Κρατερὸς γοῦν ἐν τῷ δ' τῶν Ψηφισμάτων φησὶν "ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς "φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷς δίκαι εἰσὶ,

1. ΝΑΥΚΡΑΡΙΚΑ'] *ναυκαρία* D. *ναυκραρία* Phot. et Suidas. 2. *ἐν*] *ἐπὶ* D. ΝΑΥΚΡΑΤΗΤΙΚΑ' (sic etiam Phot. et Suidæ codex unus, ceteri *ναυκρατιτικά*), *ἵνα ᾖ ἀπὸ ναυκρατητικοῦ πλοίου ἢ ναυκρατητῶν* (sic etiam Phot.; *ναυκρατιτικοῦ* et *ναυκρατιτῶν* Suidas)—*ἡ γὰρ Ναύκρατις* (*ναυκράτης* T. *Ναυκρατὶς* Phot.) 4. *εἴη ἂν τὰ τῶν*] *ἢ ἂν τὰ τῶν* (*ἢ ἀντ' αὐτῶν* Phot.) 5. *ὡς καὶ* (*καὶ* om. Suidas) *Ἡρόδοτος ἐν ε' ἱστοριῶν δηλοῖ*:— 9. *Λυσίας*—*ὁ λόγος* om. 10. *Κρατερὸς*] *καρτερὸς* D. 12. *φρατίζῃ, διώκειν δεῖ* (*τῷ* add. Phot. et Suidas) *βουλομένῳ Ἀθηναίῳ* (*ἀθηναίων* libri plures Suidæ)

1. ΝΑΥΚΡΑΡΙΚΑ'] *ναυκρατικά* C.
— *Δημοσθένης*] p. 703, 15.
— *δὲ* addidi ex Epitome.
2. *ἐν* N. et Epitome. Ceteri *ἐπί*.
— ΝΑΥΚΡΑΤΙΤΙΚΑ' Suidas. *ναυκρατητικὰ* A. Ald. *ναυκρατικὰ* B.C.D.G.
— *Ναυκρατιτικοῦ* Suidas. *ναυκρατητικοῦ* A.N. *ναυκρατικοῦ* B.C.D. Ald.
3. *Ναυκρατιτῶν* Suidas. *ναυκρατητῶν* A.N. Ald. *ναυκρατικῶν* B.
— *Ναύκρατις*] *ναυκράτις* Ald.
6. *καὶ* om. B.
— *τῇ ε'*] *τῇ ιε'* vel *τῇ ιε^η* A.B.C. *τῇ πεντεκαιδεκάτῃ* Ald. Est 5, 71.
— *Ἀριστοτέλης*—*φησὶ* om. B.C.
8. *πρότερον*] *προτέροις* C.
9. Verba in libris sic scripta, *δημίους* (*δημαίους* A.) *ἀντὶ τῶν ναυκράρων ἐποίησαν*, delenda esse vidit Bekkerus, nisi quis cum Dobræo *δήμους ἀντὶ ναυκραριῶν ποιήσαντες* corrigi velit: quale quid Aristoteles haud dubie non hoc loco, sed in præcedentibus dixerat. Itaque servato *ἐποίησαν* satis habui *δήμους* et *ναυκραριῶν* corrigere. Verba ipsa si sunt Aristotelis, ante *κατέστησαν* collocanda esse liquet, sed ita ut alia nonnulla inter *ἐποίησαν* et *κατέστησαν* intercessisse putentur. Nam si conjuncta hæc fuissent, *καὶ κατέστησαν* potius exspectes quam *κατέστησαν δὲ*—.
10. *ἦν* om. B.
— *Κρατερὸς*] *καρτερὸς* A.
— *τῷ* om. B.C.
11. *δ'*] *δ^η* C. *τετάρτῳ* Ald.
12. *φρατρίζῃ*] Hanc formam verbi annotavit Steph. Byz. s. v. *φρατρία*. *φρατίζῃ* Ald.
— *εἶναι* om. A. Ald.
— *οἷς δίκαι εἰσὶ*] Dicitur quidem ejusmodi in legibus *γραφέσθω Ἀθηναίων ὁ βουλόμενος οἷς ἔξεστι*, cujus loco fortasse dici potest *οἷς δίκαιόν ἐστι*, sed non *οἷς δίκαι εἰσίν*. Exciderunt verba aliquot hunc fere in modum, *διώκειν εἶναι Ἀθηναίων τῷ*

“λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας.” Ἀριστοφάνης Δαιταλεῦσιν “ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένον ἐξαίφνης ⏑ ⏑ – –.”

Νεαλής: Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος, εἰ γνήσιος. ὁ νεωστὶ ἑαλωκὼς οὕτως ἐλέγετο κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἰχθύων.

Νεβρίζων: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου ἢ καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν, οἱ δὲ ἐπὶ τοῦ νεβροὺς διασπᾶν κατά τινα ἄρρητον λόγον. ἔστι δὲ ὁ νεβρισμὸς καὶ παρὰ Ἀριγνώτῃ ἐν τῷ περὶ τῶν τελετῶν.

Νεήλατα: Δημοσθένης ὑπὲρ Κτησιφῶντος κατ' ἔλλειψιν ἀντὶ τοῦ νεήλατα ἄλφιτα, τὰ νεωστὶ ἀληλεσμένα, ἃ δὴ μέλιτι ἀναδεύοντες, ἀσταφίδας τε καὶ χλωροὺς ἐρεβίνθους ἐπεμβάλλοντες, τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. ἐκάλουν δὲ αὐτὰ οἱ μὲν ἀμβροσίαν, οἱ δὲ μακαρίαν.

Νεμεὰς Χαράδρα: Αἰσχίνης περὶ τῆς πρεσβείας. οὕτω τόπος

1. Ἀριστοφάνης—ἐξαίφνης om. 3. Δ.—Ἀριστογείτονος om. Totam gl. om. Phot. et Suidas substitutis aliis. 4. οὕτως] καὶ οὕτως 5. ἐν τῷ om. 6. ἐνειμένου (ἐνιμένου T.), εἰ (ἢ Phot.) καὶ διαζωννύντος νεβρίσιν ἐπὶ τὸ νεβροὺς (τῷ νεβροὺς Phot. et Suidas, nisi quod codex Photii non τῷ, sed solum τ habet) διασπᾶν—λόγον:— 10. Hanc gl. habet Phot., om. Suidas, substituta simili, quæ ei communis est cum Photio. 11. ἀληλεσμένα] ἐληλισμένα T. ἀληλισμένα Phot. et superscripto ε D. 12. τε] δὲ 15. ΝΕΜΕΆΣ (νεμέα aliquot libri Suidæ) X. τόπος τις οὕτως

βουλομένῳ οἷς ἔξεστιν, ἐν τοῖς ναυτοδίκαις· οἷς δὲ δίκαι εἰσὶ πρὸς τοὺς ξένους (ἐμπόρους), λαγχάνειν τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας. MEIER. de bonis damn. p. 95. Post Meierum de hoc psephismate dixerunt Schœmann. de lite Att. p. 83. et Meinek. ad Steph. Byz. p. 717. Plebiscitum a Cratero exscriptum ad alterum tantum nautodicarum munus, de peregrinitate judicandi, pertinuisse videtur Sauppio Fragm. p. 174.

1. τῇ] ἐν τῇ B.C.

2. Ἀριστοφάνης] Fragm. 16.

— βάψας] βλάψας B.C.

— ξένον Dobræus. ξένην libri.

3. Indicavi lacunam. ἀποφῆναι addidit Dobræus, σ' ἐπιδεῖξαι probabilius Sauppius Fragm. p. 174.

3. Δημοσθένης] p. 788, 22.

5. Δημοσθένης] p. 313, 16.

6. διαζωννύντος] διαζωννύων C.

7. οἱ δὲ additum ex N.

— διασπᾶν N. et Epitome. Legebatur ἐκδιασπᾶν, verbum nusquam alibi inventum.

8. τῶν om. B.C.

10. Δημοσθένης] p. 314, 1.

11. τὰ om. B.C. ἀντὶ τοῦ et τὰ om. D.

— δὴ] δὴ καὶ B.

— ἐπεμβάλλοντες] ἐπεμβαλόντες A. D. Ald.

12. ΝΕΜΕΑ'Σ] Scribebatur Νεμέας. Correxi ex Æschine p. 50, 36. qui Νεμεάδα Χαράδραν dixit.

15. πρεσβείας] παραπρεσβείας C. Ald.

τις ἐκαλεῖτο ἐν Πελοποννήσῳ· "πλησίον τῆς Νεμεάδος Χαράδρας" Ἔφορος ἐν κγ΄.

Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. ὁ δὲ Πολέμων ἐν τοῖς περὶ τῆς ἀκροπόλεως παρατίθεται ψήφισμα καθ' ὃ ἀπείρητο Ἀθήνησιν ὄνομα πεντετηρίδος τίθεσθαι δούλῃ ἢ ἀπελευθέρᾳ ἢ πόρνῃ ἢ αὐλητρίδι· ἄξιον οὖν ἀπορῆσαι πῶς οὕτως ὠνομάζετο ἡ αὐλητρίς.

Νεμέσεια: Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου. μήποτε ἑορτή τις ἦν Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα.

Νέων: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας Θεόπομπος ἐν β΄ Φιλιππικῶν ἱστορεῖ.

Νεώρια καὶ νεώσοικοι: μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε ἐν ἀπολογισμῷ ὧν πεπολίτευται καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος ὁ λόγος.

Νεῶσι: Δημοσθένης κατ' Αἰσχίνου. πόλις ἐστὶν ἐν τῇ Φωκίδι, ἣν Ἡρόδοτος μὲν ἐν η΄ Νεῶνα ὀνομάζει, Ἀνδροτίων δ' ἐν ς΄ Ἀτθίδος Νεῶνας.

1. πλησίον—κγ΄ om. 3. ΝΕΜΕ΄ΑΣ] Novæ gl. initium, quam ante præcedentem ponit Suidas. ἐν τῷ—γνήσιος om. Phot. 4. γνήσιος:— 8. ΝΕΜΕ΄ΣΙΑ 12. φιλίας φησίν:— 15. Λυκοῦργός τε καὶ Ἀνδοκίδης:— 17. ΝΕΩ͂ΣΙ] νεώσι E.T. νεώσει Phot. 18. Νεῶνα] νεώνα E.T. Νέωνα Phot. 19. Νεῶνας] νεώνας E.T.

1. Νεμεάδος Sauppius Fragm. p. 297. Legebatur Νεμέας.

3. ΝΕΜΕ΄ΑΣ—] Hæc vulgo cum præcedentibus conjuncta. Novam gl. recte incipit Epitome. Debet autem hæc Harpocratio Athenæo 13. p. 587.

8. ΝΕΜΕ΄ΣΕΙΑ] νεμέσια B. νεμέσεα C.

— Δημοσθένης] p. 1031, 13.

11. ΝΕ΄ΩΝ ex Epitome pro Νεών. Recto accentu apud Demosth. p. 324, 13.

12. τούτου] τοῦτον A. Ald., om. C.

— β΄] βω C. δευτέρᾳ Ald.

13. ΝΕΩ΄ΡΙΑ καὶ ΝΕΩ΄ΣΟΙΚΟΙ] De his dixit Boeckh. Œc. vol. 3. p. 64.

13. ὁ om. B.

15. τε om. B.C.

16. Ἀνδοκίδης] p. 24, 21.

— τῆς om. A.

17. ΝΕΩ͂ΣΙ] νεῶοι A.C.G. νεώη Ald. Apud Demosth. p. 387, 9. Νέωσι.

— Δ. κατ' Αἰσχίνου om. B.C., sed B. Δ. ἐν τῷ κατ' αἰσχίνου habet infra post Νεῶνας.

— ἐστὶν] δὲ C.

— Φωκίδι] τρωάδι B.

18. ἐν η΄] c. 32. 33. ubi Νέωνα.

Νίκαια: *Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ἔστι δὲ πόλις τῆς Λοκρίδος ἐπιθαλαττίδιος.*

Νικάνωρ: *Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους. τρεῖς γεγόνασι Νικάνορες, ὁ μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος υἱός, ἄλλος δὲ Σταγειρίτης τὸ γένος, οὗ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ.*

Νίκη Ἀθηνᾶ: *Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥόαν, ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν α' περὶ ἀκροπόλεως.*

Νοθεῖα: *τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτω καλεῖται, ἦν δὲ μέχρι χιλίων δραχμῶν· Λυσίας ἐν τῷ πρὸς Καλλιφάνη ξενίας, εἰ γνήσιος, Ἰσαῖος πρὸς Λυσίβιον περὶ ἐπικλήρου. Ἀριστοφάνης Ὄρνισι*

τί δ' ἦν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
τὰ νοθεῖ' ἀποθνήσκων; ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.

τίνων δ' οὐκ ἐξῆν τοῖς νόθοις μετέχειν δεδήλωκεν Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας β'. Δημοσθένης δ' ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν ὡς εἰς τὸ Κυνόσαργες ἐτέλουν.

Νομοφύλακες: *ἀρχή τις παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν· Δείναρχος καθ' Ἱμεραίου καὶ ἐν τῷ κατὰ*

1. *περὶ τῆς πρεσβείας*] *παρὰ τῆς πρεσβείας* (*περὶ τῆς παραπρεσβείας* Phot. et Suidas) 3. Ὑ.—*Δημοσθένους* om. 4. *υἱὸς* post *Παρμενίωνος* om. 5. *οὗ καὶ Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Δημοσθένους*:— 8. *κράνος*] *κράτος* (*κράνος* Suidas) 10. ΝΟΘΕΙΑ (*νοθεία* Suidas. *νόθια* Phot.)—*οὕτως* (*οὕτω* Suidas) 11. *χιλίων* (*χιλιῶν* D.) *δραχμῶν. οὕτως* (*οὕτω* Phot. et Suidas) *Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριστοφάνης καὶ Ὑπερίδης καὶ Δ. ἐν τῷ κατὰ Ἀριστοκράτους*:— 20. *θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς—χρῆσθαι*:—

1. *Αἰσχίνης*] p. 45, 33.
— *πρεσβείας*] *παραπρεσβείας* Ald.
5. *μνημονεύοι ἂν νῦν*] —*νεύει νῦν* C.
6. *δὲ* additum ex Epitome.
7. *ῥόαν*] *ῥοὰν* Ald. *ῥοιὰν* C.
8. *κράνος* ex Suida. Libri *κράτος*.
— *ἐτιμᾶτο παρὰ* N. *ἐτιμᾶτο. ὅτι δὲ ἐτιμᾶτο παρ'* ceteri.
— *παρ'*] *παρὰ τοῖς* N.
9. *ἐν α'*] *ἐν τῇ πρώτῃ* Ald. *ἐν πρώτῳ* Epitome. *περὶ* om. A.B.C.
11. *Καλλιφάνη*] *καλλιφάνους* B.C. *καλλιφάνην* P.Q.
12. *γνήσιος*:— C.
— *Ἰσαῖος* additum ex Epitome. Lacuna est in A.B.P.Q. Ald.
13. *Ὄρνισι*] v. 1655.
16. Delevi *τε* in libris post *Ὑπερίδης* lectum. Eo servato lacunam post *Ἀρισταγόρας β'* indicavit Sauppius p. 192.
17. *Ἀρισταγόρας*] *ἀρισταγόρου* P.Q. Ald.
— *Δημοσθένης*] p. 691, 19.
18. *εἰς* Sauppius p. 192. *καὶ* libri. *καὶ εἰς* Valesius.
20. *Ἱμεραίου* Maussacus. *ἡμεραίου* libri, nisi quod *ἡμερέου* B.

Πυθέου. Φιλόχορος δὲ ἐν τῷ ζ' ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν καὶ ὅτι οὗτοι τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

Νότιον: Λυσίας κατὰ Μαντίου. ὅτι δέ ἐστι χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως Θεόπομπος ἐν τῇ ιε' φησίν.

Νύμφαιον: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντός φησι "Νύμφαιον τὸ ἐν τῷ Πόντῳ." Κρατερὸς δὲ ἐν θ' τῶν Ψηφισμάτων φησὶν ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

Ξ.

Ξενίζειν: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει πολλάκις. ἔνιοι μὲν οἷον ξένῃ διαλέκτῳ χρῆσθαι, τάχα δ' ἂν εἴη μᾶλλον τὸ ἐν τῇ ξένῃ διατρίβειν.

Ξενικὸν ἐν Κορίνθῳ: Δημοσθένης Φιλιππικοῖς καὶ Ἀριστοφάνης Πλούτῳ. συνεστήσατο δ' αὐτὸ πρῶτον Κόνων, παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕστερον καὶ Χαβρίας· ᾧ χρησάμενοι τὴν Λακεδαιμονίων μόραν κατέκοψαν στρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ Καλλίου, καθά φησιν Ἀνδροτίων τε καὶ Φιλόχορος.

Ξενιτευομένους: ἀντὶ τοῦ μισθοφοροῦντας, ξένοι δὲ οἱ μισθοφόροι· Ἰσοκράτης Φιλίππῳ κἄν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν. Ἀντιφάνης Εὐθυδίκῳ

ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

3. Λυσίας—δέ ἐστι om. 4. πόλεως:— 5. ΝΥ'ΜΦΑΙΟΝ (Νυμφαῖον Phot. hic et mox). ἐν τῷ Πόντῳ ἐστὶν τὸ Νύμφαιον καὶ φησὶ Κρατερὸς ἐν θ' τῶν ψ. ὅτι Ἀθηναίοις ἐ. τάλαντον:— 9. ΞΕΝΙ'ΖΕΙΝ. οἱ μὲν ξ. δ. χρῆσθαι, οἱ δὲ ἐν τῇ ξένῃ διατρίβειν:— 12. ἐν φιλιππικοῖς D. 13. Πλούτῳ om. πρῶτον] ᾱ E.T. πρῶτος Suidas (πρῶτον Photius) 14. ᾧ χρησάμενος— μοῖραν—κατέκοψεν (χρησάμενοι et κατέκοψαν Suidas) 15. καὶ Καλλικλέους:— 17. ξένοι—ἐπιστολῶν om.

1. δὲ additum ex C.N.
2. ὅτι om. B.C.
— οὗτοι] οὗτοι μὲν P.Q.
— χρῆσθαι C.N. et Epitome. χρῆσθαι δῆλον A.B.P.Q. Ald.
3. δέ additum ex B.C.
4—7. Θεόπομπος—τάλαντον om. P.
4. ιε'] ιε̄ πέμπτῃ A. πεντεκαιδεκάτῃ Ald.
5. Αἰσχίνης] p. 78, 15. De Nymphæo dixit Boeckh. Œc. vol. 2. p. 658.
6. τὸ ex Æschine restitutum pro τε (δὲ C.).
6. τῷ om. C.
— θ'] θ^ω C. ἐννάτῃ Ald.
7. τάλαντον] τὸ τάλαντον A.
9. Δημοσθένης] p. 1304, 6. 11.
10. τάχα Valesius. Libri τἆλλα.
12. Δημοσθένης] p. 46, 25.
13. Πλούτῳ] v. 173.
15. μόραν Bekkerus, μοῖραν libri.
16. τε om. C.
18. Φιλίππῳ (libri φιλιππικῷ, quod correxit Bekkerus)] p. 107 a.
— ἐπιστολῶν] p. 410 c.
19. Ἀντιφάνης] δ' addit C.

Ξηραλοιφεῖν: Αἰσχίνης κατὰ Τιμάρχου. ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι, ὡς Δίδυμος ἐν κη´ Τραγικῆς λέξεως καὶ Νίκανδρος ἐν ιη´ Ἀττικῆς διαλέκτου, προστιθεὶς ὅτι μήποτε καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτριβεῖσθαι οὕτως ἐλέγετο. Σοφοκλῆς Πηλεῖ

καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν.

Ξυπεταίονες: Ὑπερείδης κατ' Ἀρχεστρατίδου. δῆμος τῆς Κεκροπίδος Ξυπέτη, ἀφ' ἧς ὁ δημότης Ξυπεταίων, ὡς Διόδωρος.

Ξυστίς: Λυσίας ἐν τῷ πρὸς Νικόδημον καὶ Κριτόβουλον. γυναικεῖόν τι ἔνδυμά ἐστιν ἡ ξυστὶς πεποικιλμένον, ὡς δῆλον ποιοῦσιν ἄλλοι τε τῶν κωμικῶν καὶ Ἀντιφάνης ἐν Εὐπλοίᾳ

τὸν ποικίλ' ὥσπερ ξυστίδ' ἠμφιεσμένον.

2. ἀλείφεσθαι. μήποτε δὲ καὶ (μήποτε et reliqua om. Suidæ codex A. 4. ξηροτρίβεσθαι οὕτως ἐλέγετο :— 7. ΞΥΠΕΤΑΙΩ^ΝΕΣ (Ξυπεταίωνες Phot. Ξυπεταιωνεύς Suidas). δῆμος τῆς Κεκροπίδος (φυλῆς add. Phot.) Ξυπέται (Ξυπεταιή Phot. Ξυπεταίη Suidas), ἀφ' ἧς ὁ δημότης Ξυπεταίων (ξυπαιταιὼν (ε supra αι) D. Ξυπεταιών Phot. et Suidas) :— 9. Λ.—Κριτόβουλον om. Totam gl. omisit Suidas substitutis aliis. Utrasque habet Photius. 10. ἡ ξυστὶς om. 11. Εὐπλοίᾳ. ἔστι μέντοι καὶ τραγικόν

1—6. De his P. nihil habet præter verba ξηραλοιφεῖν ἐλέγετο τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι.

1. Αἰσχίνης] p. 19, 25.

— ἔλεγον τὸ Epitome. Libri ἐλέγετο.

3. ὅτι om. C.N.

4. ξηροτριβεῖσθαι] ξηροτρίβεσθαι libri. Rectam verbi formam, qua utitur Hesychius, restituit Lobeck. ad Phryn. p. 572.

5. Σοφοκλῆς] Fragm. 437.

7. ΞΥΠΕΤΑΙ´ΟΝΕΣ] ξυπεταίων C. ξυπετάλων B. ξυπετέωνες Q. In Epitome Ξυπεταιῶνες. In inscriptionibus ΞΥΠΕΤΑΙΩΝ cum genitivo ΞΥΠΕΤΑΙΟΝΟΣ reperitur. Ξυπετεών ut Μακεδών ponit Steph. Byz. Dixit de his formis L. Dindorfius in Thesauro vol. 5. p. 1689. et Meier. apud Rossium de demis p. 128.

— Ὑπερείδης κατ' Ἀ. et mox ἀφ' ἧς—Διόδωρος om. P.

8. Ξυπέτη] Dubitatur utrum sic, an Ξυπετή, an Ξυπετῆ contractum e Ξυπετέα scribi oporteat: v. L. Dindorfium l. c.

— ἀφ' ἧς] V. quæ s. v. Λουσιεύς diximus.

— Ξυπεταίων] ξυπετάλων B.

9. ΞΥΣΤΙ´Σ] Veteres Atticos ξύστις pronunciasse παροξυτόνως annotarunt grammatici, de quo dictum in Thesauro s. h. v.

— Νικόδημον] δημόνικον C.

10. ἔστι ante τι C.

11. Antiphanis verba om. B.P. Post Εὐπλοίᾳ est lacuna in Q.

12. τὸν ποικίλ' ὥσπερ ξυστίδ'] Legebatur ὥσπερ ξυστίδα ὥσπερ τὸ ποικίλον. Correxit Sauppius Fragm. p. 201. τὸ ποικίλον ἠμφιεσμένον A. Q. τῷ (cum asterisco ante τῷ) ποικίλον ἠμφιεσμένῳ Ald. τὸ ποικίλως ὑφασμένον B.C. Alia tentavit Dobræus Advers. vol. 1. p. 588.

ἔστι μὲν καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις, ἔστι δὲ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης Νεφέλαις.

Ο.

Ὀβολοστατοῖ: ἀντὶ τοῦ δανείζοι Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος. ἐν δὲ τῷ πρὸς Λακράτην διασαφῶν φησὶν "οὐδ' ἂν εἰ "πολὺ ἐλάττονα τόκον λογίσαιτό τις ἢ ὅσον οὗτοι οἱ ὀβολοστατοῦντες "τοὺς ἄλλους πράττονται." ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστὰς, ὡς παρά τε Ὑπερείδῃ ἐν τῷ κατὰ Πολυεύκτου καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ.

Ὁδός: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν "ἢ ἐν ὁδῷ "καθελών" ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ. τοιοῦτον δὲ εἶναι καὶ τὸ Ὁμηρικόν φασιν "ἢ ὁδὸν ἐλθέμεναι." εἰ δὲ ψιλωθείη ἡ προτέρα, σημαίνει τὸν βαθμὸν, ὡς παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος ὁ λόγος.

Ὀθνεῖος: Ἰσαῖος ἐν τῷ κατὰ Στρατοκλέους ἀντὶ τοῦ ἀλλότριος, ὡς καὶ παρὰ Πλάτωνι ἐν α' Νόμων.

2. ἐν Νεφέλαις] ἐν φίλαις (ἐν φυλαῖς Phot., φ in litura.) 5. 'ΟΒΟΛΟΣΤΑΤΟΙ^] Sic etiam apud Phot.; ὀβολοστατεῖ Suidas. δανείζοι] δανείζει Suidas. ἐν τῷ—φησὶν om. 6. εἰ πολὺ] οἱ πολλοὶ οὗτοι ὀβολοστατοῦντες Phot. et Suidas. οὗτοι οἱ βολοστατοῦντες (sic) E.T.D. 8. πράττονται. ἔλεγον δὲ τοὺς (τοὺς recte om. Phot. et Suidas) ὀβολοστάτας τοὺς δανειστὰς ὡς Ὑπερίδης καὶ ἡ κωμῳδία:— 11. φησὶν om. 12. τοιοῦτον δὲ καὶ τὸ Ὁμηρικὸν, ἢ ὁδὸν 13. ἡ προτέρα συλλαβὴ—βαθμόν:— 16. 'ΟΘΝΕΙ^ΟΣ. ὁ ἀλλότριος, ὡς Ἰσαῖος καὶ Πλάτων:— Totam gl. om. Suidas. Verba Ἰσαῖος καὶ Πλάτων Photius alii glossæ adjunxit, quæ ei communis est cum Suida.

1. μὲν] δὲ C., om. P.

2. οὕτω καλούμενον et mox ἔστι δὲ om. P.

— Νεφέλαις (v. 71.) Valesius. ἐν φιάλαις A.P.Q. Ald. ἐν φυάλαις B.C. ἐν φίλαις Epitome.

5. 'ΟΒΟΛΟΣΤΑΤΟΙ^—δανείζοι ex Epitome pro ὀβολοστατεῖ—δανείζει.

—κατὰ om. B.C. Verba ἐν τῷ—διασαφῶν φησιν om. P.

— Νικίδου] νικίου C.

6. Λακράτην] κράτην Q.

7. οἱ om. A.P.Q. Ald., habent B.C.

8. ὁ. δ'] καὶ ὁ. P.

9. ὡς παρὰ—κωμῳδίᾳ om. P.

11. Locum Demosthenis (p. 637.) attigit Harpocratio supra s.v. ἢ ἐν ὁδῷ καθελὼν et s.v. καθελών.

13. Ὁμηρικὸν] Iliad. I, 151. Verba Homeri om. C.

— εἰ δὲ ψιλωθείη] De hoc non cogitandum.

— ἡ προτέρα om. P.

14. εἰ γνήσιος ὁ λόγος om. P.

16. κατὰ Στρατοκλέους] κατ' ἀριστοκράτους P.

17. ἐν (τῷ add. B.C.) α'] p. 629 e.

— Νόμων] τῶν νόμων B.

Οἴηθεν: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. δῆμος τῆς Πανδιονίδος ἡ Οἴη, ὡς Διόδωρος· Οἴηθεν δὲ ἀπὸ τόπου ἐπίρρημα. Φιλόχορος δ' ἐν τῇ γ' τὴν Οἴην Κεφάλου μὲν θυγατέρα, Χάροπος δὲ γυναῖκα ἱστορεῖ.

Οἰκέως: Λυσίας ἐν τῷ κατὰ Θεομνήστου ὥσπερ ἐξηγούμενος τοὔνομα φησὶ "τὸ δὲ οἰκέως θεράποντος."

Οἴκημα: ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος ἐν Τυρρηνικῷ καὶ ἐν τῷ κατὰ Ποσειδίππου, ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

Οἰκίσκοι: ἀντὶ τοῦ μικρῷ τινι οἴκῳ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον· Ἀριστοφάνης Πελαργοῖς, Μεταγένης Αὔραις. ἐκ τούτων δ' ἔοικε πλανώμενος ὁ Δίδυμος καὶ τὸ Δημοσθενικὸν ἐξηγεῖσθαι.

Οἰνηΐς: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις.

1. ΟΙ'Η˜ΘΕΝ (Οἴηθεν Phot.). δῆμος Πανδιονίδος (πανδιώνιδος T.) ἡ Οἴη. καὶ τὸ Οἴηθεν (οἰηθέν T. Οἶῆθεν Suidas) τοπικὸν ἐπίρρημα 2. Φιλόχορος δὲ τὴν Οἴην φησὶν Κεφάλου μὲν θυγατέρα εἶναι, Χαρωποῦ (χαροποῦ D. et Phot. Suidæ codices partim sic, partim Χαρόπου) δὲ γυναῖκα οἰκέως :— Post quod οἰκέως Epitome pergit ad οἴκημα. Plane eodem modo hæc scripta repererunt Photius et Suidas, qui quum viderent οἰκέως alius glossæ initium esse, solum illud lemma οἰκέως Lexicis suis inseruerunt, Photius post gl οἰκογενές p. 319, 6. ante οἴκημα, Suidas inter glossas οἴκαδε et οἰκέται, ubi interpolator aliquis defectum supplere studuit additis post οἰκέως verbis ἀπ' εὐθείας τῆς οἰκεύς, ἤγουν οἰκέτης, quibus caret liber Parisinus optimus. 6. ἐν Τυρρηνικῷ—Ποσειδίππου om. 7. Αἰσχίνης :— 9. τινὶ οἴκῳ. Δ. ἐν τῷ περὶ (ὑπὲρ libri Suidæ deteriores) 12. ὀρνίθων τροφεῖον (ὀρνιθοτροφεῖον Suidas) οἰκίσκον :— 13. ΟΙ'ΝΗΙ'Σ (οἰνίης Phot. et Suidæ codices). μία τῶν

1. Ἰσαῖος—Ἐλπαγόρου om. P. et mox verba Οἴηθεν—ἱστορεῖ.

2. Οἴη] De hoc pago dixit Sauppius in comment. de demis urbanis p. 8.

— ἀπὸ τόπου] ἐν τόπῳ A.P. Ald.

4. ΟΙ'ΚΕ'ΩΣ] οἰκέας B.C.

— Λυσίας] p. 117, 41.

— Θεομνήστου] θεοπόμπου B.C.

— ὥσπερ (ὥσπερ om. C.) ἐξηγούμενος] Legebatur ἐξηγούμενος ὥσπερ.

5. τοὔνομα P. Scribebatur τὸ ὄνομα.

— τὸ δὲ] τόδε A.

— οἰκέως] οἰκέος B.C.

6. Δείναρχος om. Q.

6. Τυρρηνικῷ Valesius pro τυραννικῷ.

7. Ποσειδίππου] ποσιδίππου B.C. Ald.

— Αἰσχίνης] p. 11, 3.

— ἐν τῷ om. P.

9. οἴκῳ] οἰκήματι B.C.G.

— Δημοσθένης] p. 258, 21.

— ἐν τῷ om. A.B.

11. Ἀριστοφάνης] Fragm. 385. Ἀριστοφάνης—ἐξηγεῖσθαι om. P.

12. καὶ om. C.

13. δέκα om. B.C.

14. φυλῶν] φυλακῶν C.

— Ἀθηναίοις Epitome. Libri ἀθηναίοις ἦν.

Οἰνόη καὶ Οἰναῖος: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα "καὶ ἔφασαν ἐν Οἰνόῃ ἀκοῦσαι ὅτι μάχη εἴη γεγονυῖα." Οἰνόη δῆμος τῆς Ἱπποθωντίδος πρὸς Ἐλευθέραις, ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνι· ἀφ' ἑκατέρου δὲ τῶν δήμων ὁ δημότης Οἰναῖος καλεῖται. μνημονεύοι δ' ἂν νῦν ὁ ῥήτωρ τοῦ πρὸς Ἐλευθέραις, οὗ καὶ Θουκυδίδης ἐν τῇ β'.

Οἶον: Ἰσαῖος ἐν τῷ περὶ τῆς ποιήσεως. δῆμοί εἰσιν ἐν τῇ Ἀττικῇ διττοὶ οὐδετέρως λεγόμενοι, καλοῦνται δὲ Οἶον. κεκλῆσθαι δέ φησιν οὕτω Φιλόχορος ἐν τῇ γ' διὰ τὸ μηδαμῶς οἰκητὸν τόπον ἔχειν, ἀλλὰ μεμονῶσθαι· τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ ἀρχαῖοι. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, τὸ δὲ Δεκελεικὸν τῆς Ἱπποθωντίδος, ὡς Διόδωρος. οἱ δὲ δημόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴου. ἄλλοι δ' ἦσαν οἱ λεγόμενοι Οἴηθεν, ὡς προείρηται.

Οἶος εἶ καὶ οἷός τε εἶ: τὸ μὲν χωρὶς τοῦ τέ σημαίνει τὸ βούλει καὶ προῄρησαι, τὸ δὲ σὺν τῷ τέ τὸ δύνασαι. ἀμφοτέροις ἐχρήσατο Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ γνήσιος.

1. ΟἸΝΌΗ καὶ ΟἸΝΈΩΣ (οἱ νεὼς T.). δῆμος τῆς Ἱπποθοοντίδος καὶ ἕτερος τῆς Αἰαντίδος. λέγεται δὲ ὁ μὲν τῆς Ἱπποθοοντίδος πρὸς Ἐλευσίναις (sic), ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνα. (δῆμος τῆς Ἱπποθοοντίδος πρὸς Ἐλευσίνας, ὁ δὲ τῆς Αἰαντίδος—Μαραθῶνα Phot. et Suidas, nisi quod Suidas Ἐλευθέραις pro Ἐλευσίνας et Ἱπποθοωντίδος). ἀφ' ἑκατέρων δὲ τῶν δήμων ὁ δημότης Οἰνέως :— 7. Ἰσαῖος—ποιήσεως om. 8. λεγόμενοι. καλεῖσθαι δέ φασιν (αὐτοὺς add. Phot. et Suidas) οὕτω διὰ τὸ 12. Ἱπποθοωντίδος (Ἱπποθοοντίδος Phot.), οἱ δὲ δημόται 15. προείρησαι (sic etiam Phot. προῄρησαι Suidas)—ἀμφοτέροις δὲ Λυσίας ἐχρήσατο :—

1. ΟἸΝΌΗ Epitome. οἰναίῃ A. οἰναιῇ B.C. οἰνέῃ Ald.

— ΟἸΝΑΓΟΣ] οἰνέος A. quod alludit ad Epitomes scripturam Οἰνέως. Recta forma Οἰναῖος est, de qua constat ex inscriptionibus: v. Ross. de demis p. 129.

2. καὶ om. B.

— ἔφασαν] Loquitur orator de iis qui primum nuncium pugnæ Chæronensis Athenas attulerant, ut conjicit Sauppius Fragm. p. 282.

— ἐν Οἰνόῃ] ἐν οἰνέῃ A. Ald. ἐν οἰναίῃ B.C.

3. Ἱπποθωντίδος Sauppius. Scribebatur Ἱπποθοωντίδος hic et infra.

— δὲ om. B.C.

6. ἐν τῇ (τῇ om. C.) β'] c. 18.

7. ΟἾΟΝ] οἷον A.B. Ald. hic et infra.

— τῆς om. C.

8. καλοῦνται δὲ delet Valesius.

— δέ post κεκλῆσθαι addidi ex N., qui κεκλῆσθαι δὲ οὕτω φησὶν ὁ φιλόχορος.

9. τῇ (τῇ om. B.C.) γ' Muellerus Fragm. Hist. vol. 1. p. 396. Libri τῇ ιγ'. (ιγ^ω C. τρισκαιδεκάτῃ Ald.) Philochorum libro tertio de demorum originibus exposuisse alii Harpocrationis loci docent.

— μηδαμῶς] οὐδαμῶς B.

— οἰκητὸν Epitome. οἰκιστὸν B. C.G. εὐοίκητον A.Q. Ald.

10. δὲ om. B.C.

15. βούλει] βούλεσθαι B.C.G.

— προῄρησαι Ald. προείρηται

Οἰσύμη: Ἀντιφῶν ἐν τῷ κατὰ Λαισποδίου. πόλις ἐστὶ τῆς Θρᾴκης, καθά φασιν ἄλλοι τε καὶ Ἔφορος ἐν δ'.

Ὅτι διαμαρτάνει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας λέγων Πλαταιέας γεγράφθαι ἐν τῇ Ποικίλῃ στοᾷ· οὐδεὶς γὰρ τοῦτο εἴρηκεν, ὥσπερ οὐδὲ Κρατερὸς ἐν τῇ τῶν ψηφισμάτων συναγωγῇ.

Ὁ κάτωθεν νόμος: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Δίδυμος "ἤτοι" φησὶ "τὴν ἡλιαίαν λέγει ὁ ῥήτωρ διὰ τὸ τῶν δικα- "στηρίων τὰ μὲν ἄνω, τὰ δὲ κάτω ὀνομάζεσθαι, ἢ διὰ τὸ σχῆμα "τῆς ἐν τοῖς ἄξοσι γραφῆς βουστροφηδὸν γεγραμμένης τὸν ἀπὸ τῶν "εὐωνύμων ἀρχόμενον νόμον κάτωθεν ὀνομάζει ὁ Δημοσθένης· ὅτι "γάρ" φησι "βουστροφηδὸν ἦσαν οἱ ἄξονες καὶ οἱ κύρβεις γεγραμ- "μένοι δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ. ἢ ἐπεί" φησι "τοὺς ἄξονας καὶ τοὺς κύρβεις ἄνωθεν ἐκ τῆς ἀκροπόλεως εἰς τὸ "βουλευτήριον καὶ τὴν ἀγορὰν μετέστησεν Ἐφιάλτης, ὥς φησιν "Ἀναξιμένης ἐν Φιλιππικοῖς."

1. ΟΙ'ΣΥ'ΜΗ. πόλις τῆς Θρᾴκης:— 1. 2. om. D. 3.—5. om. Suidas, post glossam proximam habet Epitome usque ad verbum εἴρηκεν, in quo etiam Photius desinit. 3. Πλαταιέας] πλατεαίας T. 6. Ἀριστοκράτους. ἢ τὴν ἡλιαίαν λέγει διὰ τὸ 9. τὸν ἀπὸ] ἢ ἀπὸ 10. ἀρχομένων νόμων Phot. 15. Φιλιππικοῖς D. Φιλιππικῷ ceteri.

(corruptum ex προείρησαι, quod est in Epitome) A.N. προαιρεῖσθαι B. C.G.

P. 219, 15. δύνασαι Ald. et Epitome. δύνασθαι A.B.C.N.

16. γνήσιος] ὁ λόγος addit A.

P. 220, 1, Λαισποδίου] λαισπουδίου C. et, ut opinor, B. λεσπουδίου A. Ald.

2. δ'] τρίτῃ Ald.

3. Δημοσθένης] p. 1377, 8.

— Πλαταιέας] πλαταιαῖς A.C. πλατεαῖς B. Ald. πλατεέας N. Platæensibus Athenienses post pugnam Marathoniam leviores tantum honores, velut coronam auream, proedriam et quæ sunt similia, decrevisse conjicit Meinek. ad Steph. Byz. p. 716. Ampliora fuerunt quæ undecim annis post propter fortitudinem in prœlio Platæensi præstitam in eos collata esse præmia constat.

6. Δημοσθένης] p. 629, 16.

9. τὸν ἀπὸ Valesius. ἢ τὸν ἀπὸ libri.

10. ὁ om. B.

12. ἐπεὶ] ἐπειδὴ N.

13. τοὺς ἄξονας—Ἐφιάλτης] Cum his pugnare videtur quod Pollux 8, 128. tradidit, οἵ τε κύρβεις καὶ οἱ ἄξονες ἐν ἀκροπόλει πάλαι, αὖθις δ' ἵνα πᾶσιν ἐξῇν ἐντυγχάνειν εἰς τὸ πρυτανεῖον καὶ τὴν ἀγορὰν μετεκομίσθησαν. Quæ Meiero in Comment. de Vita Lycurgi p. xcvii. sic videntur conciliari posse ut aut leges alias in curiam alias in prytaneum, aut omnes ab Ephialta quidem in curiam, postea vero in prytaneum delatas esse dicas, aut quod prytaneum ab curia non longe abfuerit, perinde dici statuas in prytaneum atque in curiam deferri.

— ἐκ additum ex Epitome.

15. Φιλιππικοῖς ex Epitome pro Φιλιππικῷ. Idem librorum vitium notavimus s. v. Μύρτανον.

ʹΟτι ἑξακισχίλια ἦν τάλαντα τὸ τίμημα τῆς ᾿Αττικῆς. Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν φησὶν οὕτως "ἡμῖν δὲ τὸ τῆς "χώρας τίμημα ὑπάρχειν ἀφορμὴν ὀκτακισχίλια τάλαντα ἀκού- "σεται." ἤτοι οὖν γραφικὸν ἁμάρτημά ἐστιν, ἢ ἴσως ὁ ῥήτωρ συναρπάζει, ἵνα δοκῇ πλείω τὴν ἀφορμὴν ἔχειν ἡ πόλις εἰς τὸν πρὸς βασιλέα πόλεμον. ὅτι γὰρ ἑξακισχίλια τάλαντα ἦν τὸ τίμημα τῆς ᾿Αττικῆς καὶ λυθέντος ἐν τοῖς ἑξῆς τοῦ λόγου φησὶν, λογισμὸν αὐτῶν διδοὺς ποικίλως, καὶ Φιλόχορος ἐν ι´ ᾿Ατθίδος.

᾿Ολιγωρήσετε: ἀντὶ τοῦ ἀμελήσετε Δημοσθένης Φιλιππικοῖς. ὀλιγωρεῖν γὰρ λέγεται τὸ ὀλίγην ὤραν ἔχειν· ἔστι δὲ τὸ ὀλίγην ἀντὶ τοῦ οὐδὲ ὀλίγην, ὡς ἐν τῷ

ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς,

ὤρα δ' ἐστὶν ἡ φροντίς.

῾Ολοσχοῖνοι: Αἰσχίνης ἐν τῷ περὶ πρεσβείας. Θεόφραστος δ' ἐν δ´ περὶ φυτῶν, εἰπὼν τοῦ σχοίνου τρία εἴδη εἶναι, φησὶν ὡς ὁ τρίτος μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων ὁλόσχοινος καλεῖται.

1—8. om. Suidas. 1. Δημοσθένης δὲ ἐν τῷ περὶ τῶν (τῶν om. Phot.) συμμοριῶν 2. φησὶν] δὴ φησὶν T. δὲ τὸ τῆς] δὲ τῆς 3. ὀκτ.] τὰ ὀκτ. 4. ἤτοι] εἴ τι T. ά. ἐστιν] ἐστιν ά. 5. δοκεῖ (δοκῇ Phot.) πλεῖον 6. πόλεμον:— 9. ᾿ΟΛΙΓΩΡΗ´ΣΕΤΑΙ—ἀμελήσεται 10. ὤραν et infra ὤρα (libri Suidæ plerique ὥραν et ὥρα) 13. δ' ἐστιν ἡ] δὲ ἡ 14. ῾ΟΛΟΣΧΟΙ´ΝΩΙ] ὁλοσχοίνων Phot. περὶ τῆς παραπρεσβείας. Θεόφραστος δὲ τρία εἴδη σχοίνου φησὶν, ὧν ὁ τρίτος (sic D. Phot. et Suidas. ὃν τρίτος E.T.)

1. ῞ΟΤΙ τὸ τίμημα τῆς ἀττικῆς ἑξακισχίλια ἦν τάλαντα C. Comparanda cum his quæ s. v. τίμημα dixit Harpocratio et locus Polybii 2, 62., de quibus nuper disputavit Bakius Schol. Hypomn. vol. 4. p. 120. 148.

— Δημοσθένης] p. 186.

2. περὶ] ὑπὲρ B.C.

— τῶν om. C.

4. ἤτοι] ἤ τι B.

5. συναρπάζει] Id est συναρπάζει τοὺς ἀκούοντας vel τὸν ἀκροατὴν, ut loquuntur scholiastæ Demosthenis p. 6, 16. 8, 13. 417, 21. 680, 22. Iidem συναρπάζειν τὸν δῆμον p. 124, 3. et συναρπάζειν ὡς ὁμολογούμενον p. 7, 16.

7. καὶ λυθέντος] λεληθότως N. καὶ αὖθις Dobræus.

8. αὐτῶν—ποικίλως] αὐτοῖς—ποικίλον B.C.

9. Δημοσθένης] p. 14, 10.

10. ἔστι δὲ] καὶ ἔστι C. ἔστι B.

11. ἐν τῷ] Homeri Il. 5, 800.

14. ῾ΟΛΟΣΧΟΙ´ΝΩΙ Epitome. ὁλοεχίνους libri.

— Αἰσχίνης] p. 31, 5.

— πρεσβείας] τῆς παραπρεσβείας Ald.

— δ' om. B.C.

— ἐν δ´] c. 12, 1.

15. φυτῶν Maussacus. αὐτῶν libri.

— σχοίνου Epitome. ἐχίνου A. B.C. αἰσχίνου Ald.

— φησὶν] φασιν Ald.

— ὡς Bekkerus. ὧν libri.

16. μεγέθει Epitome. τῷ μεγέθει libri.

— ὁλόσχοινος Epitome. ὁλοέχινος libri.

ὉΜΗΡΕΎΟΝΤΑΣ: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπὶ τῶν ἀναπεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρῳ. Κλείταρχος δέ φησιν ἐν τῇ ε' ν' εἶναι τοὺς δοθέντας παρὰ τῶν Λακεδαιμονίων ὁμήρους. ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν· Ὅμηρος

ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών.

Θεόπομπος δὲ ὁμηρεῖν φησὶ παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὁμολογουμένων διδομένους ἐντεῦθεν ὁμήρους φησὶ λέγεσθαι.

ὉΜΗΡΊΔΑΙ: Ἰσοκράτης Ἑλένῃ. Ὁμηρίδαι γένος ἐν Χίῳ, ὅπερ Ἀκουσίλαος ἐν γ', Ἑλλάνικος ἐν τῇ Ἀτλαντιάδι ἀπὸ τοῦ ποιητοῦ φησιν ὠνομάσθαι. Σέλευκος δὲ ἐν β' περὶ βίων ἁμαρτάνειν φησὶ Κράτητα νομίζοντα ἐν ταῖς Ἱεροποιίαις Ὁμηρίδας ἀπογόνους εἶναι τοῦ ποιητοῦ· ὠνομάσθησαν γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν.

ὉΜΟΕΡΚΈΣ: Δείναρχος ἐν τῷ πρὸς τὴν Καλλίππου παραγραφὴν ἀντὶ τοῦ ὑφ' ἓν ἕρκος, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον.

ὉΜΌΣΕ ἸΈΝΑΙ: Ὑπερείδης ἐν τῷ κατ' Ἀθηνογένους φησὶν "ἀλλὰ "ὁμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν" ἀντὶ τοῦ παραβαλέσθαι.

2. ἄνω πεμφθέντων Suidas. Ἀλεξάνδρῳ. ἦσαν δὲ ν'. ὅμηροι δέ εἰσιν 4. ὅμηροι δέ—] Hæc Suidas alii glossæ adjunxit s. v. ὅμηρον. ὁμηρῶσαι γὰρ τὸ συμβαλεῖν. Θεόπομπος 7. ἀρχαίοις] ἀχαιοῖς E.T. et Phot. λέγεσθαι post φησὶ habet Phot. 10. Ἰσοκράτης—Ὁμηρίδαι om. ὅπερ —ἀπὸ τῶν] ἀπὸ τοῦ ποιητοῦ ὠνομασμένον. οἱ δὲ φασὶν (ἄλλοι δέ φασιν Suidas) ἁμαρτάνειν τοὺς οὕτω νομίζοντας. ὀνομᾶσθαι (ὠνομάσθαι D. et Suidas. ὀνομάζεσθαι Phot.) 18. ἐν—παραγραφὴν om. 20. Ὑπερείδης—ἐλθεῖν om. 21. παραβαλέσθαι] παραβάλλεσθαι Phot.

1. Αἰσχίνης] p. 72, 35.
2. Ἀλεξάνδρῳ Epitome. ὁμήρους Ἀλεξάνδρῳ libri.
3. ν' supplevi ex verbis Epitomes.
— εἶναι] ἐν ᾗ B.C.G.
— τῶν om. B.
4. ὁμηρῆσαι Blancardus. ὁμηρῶσαι libri.
— γὰρ τὸ om. C.
5. Ὅμηρος] Od. 16, 468.
6. ὡμήρησε] ὡμήρωσε C.
7. ἀρχαίοις ex Suida pro Ἀχαιοῖς.
8. ἀκολουθίᾳ] ἀκολουθεία A.
— ἐντεῦθεν om. C.
10. Ἰσοκράτης] p. 218 e.
11. Ἀτλαντιάδι] ἀγλαντιάδι B. Ald.
12. βίων] βίον A. τὸν βίον B.
13. ἐν ταῖς Ἱεροποιΐαις] V. quæ s. v. προκώνια dicentur.
— ἀ. εἶναι] εἶναι ἀ. B.
15. ἐν] ἐν τοῖς C.
16. δόντες] διδόντες B.
18. ἐν τῷ—παραγραφὴν] ἐν τῇ—παραγραφῇ A. Ald.

λέγεται δὲ ἐκ μεταφορᾶς τοῦ ὁμόσε ταῖς λόγχαις ἰέναι, ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι καὶ μὴ στρέφεσθαι μηδὲ φεύγειν.

Ὁμοῦ: Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονός φησιν "εἰσὶν "ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι" ἀντὶ τοῦ ἐγγύς. ἔστι δὲ πολὺ παρ' Ἀττικοῖς. καὶ Μένανδρός που "ἤδη γάρ ἐστι τοῦ τίκτειν "ὁμοῦ."

Ὀνήτωρ: Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. πρὸς τοῦτον ἂν εἶεν οἱ γεγραμμένοι Δημοσθένει περὶ τῆς ἐξούλης λόγοι. ὅτι δὲ τῶν χορηγησάντων ἦν Ἡλιόδωρος περὶ τῶν Ἀθήνησι τριπόδων.

Ὀνομάζων: ἀντὶ τοῦ φράζων, ἑρμηνείᾳ χρώμενος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Ὀξυθύμια: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου φησὶ "περὶ οὗ "πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς "ἡμετέροις ἱεροῖς." ἔνιοι μὲν, ὧν ἐστι καὶ Ἀρίσταρχος, ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα ἀφ' ὧν ἀπάγχονταί τινες, ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι· ταῦτα δ' ἐκκόπτοντες ἐξορίζουσι καὶ καίουσι. Δίδυ-

1. τοῦ prius om. 3. 'ΟΜΟΥ'—] Habet hanc gl. Photius, omisit Suidas substituta alia multo copiosiore, quæ ipsa quoque apud Photium legitur. 3. Ἀριστογείτονος ὁμοῦ φησὶν δισμύριοι (Ἀριστογείτονος φησὶν, ὁμοῦ δισμύριοι Phot.) 4. ἔστι δὲ τοῦτο πολὺ 5. ἤδη τοῦ τίκτειν γὰρ ὁμοῦ (ἤδη γὰρ τοῦ τίκτειν ὁμοῦ Phot.) 7. 'ΟΝΗ'ΤΩΡ. πρὸς ὃν Δημοσθένης ἔγραψεν τοὺς ἐξούλης λόγους. εἷς δὲ ἦν τῶν χορηγησάντων, οὗ καὶ Ἰσοκράτης ἐν τῷ περὶ (τῆς add. D.) ἀντιδόσεως μέμνηται:— 11. ἐν τῷ om. Suidas, ἐν τῷ ὑπὲρ Κτ. om. Phot. 12. 'ΟΞΥΘΥΜΙ'Α (ὀξυθύμια Phot. et Suidas) 13. ὀξυθύμοις 14. ὀξυθυμία (ὀξυθύμια Phot. et Suidas) 15. τὰ om. D.

1. τοῦ ante ὁμόσε additum ex N.

2. καὶ μὴ] τὸ δὲ B.C.

3. Δημοσθένης] p. 785, 23.

— εἰσὶν om. C.

7. Ἰσοκράτης] p. 442. §. 9. ed. Bekk. Oxon.

8. οἱ om. B.

— Δημοσθένει Bekkerus. δημοσθένους libri.

— περὶ] ἐν τῷ περὶ B.C.

9. ἦν εἷς Ald., quod Epitomes auctor legisse videtur. ἦν cum lacuna A., sine lacuna B.C. ὅτι ἦν pendet ab verbo δηλοῖ intellecto.

— Ἀθήνησι Bekkerus. ἐν ἀθήνησι libri.

— τριπόδων] Tripodes intelligendi ab victoribus ludorum musicorum dedicati: de quibus dixit Boeckh. Corp. Inscr. vol. 1. p. 342.

10. Δημοσθένης] p. 237, 12. οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν.

13. ἡ στήλη] Loquitur de decreto proxeniæ Euthycrati tributæ. Quæ decreta lapidibus inscripta in templis proponi solita sunt: v. Meier. in dissert. de proxenia p. 24. 25. Boehneck. Quæst. de orat. Atticis p. 680. SAUPP. Fragm. p. 288.

14. μὲν] μὲν οὖν N.

15. φασι τὰ ξ.] τὰ ξ. φασὶν B.

— ἀπὸ] ἀντὶ C.

16. δ' ἐκκόπτοντες] δὲ κόπτοντες C.

μος δὲ Αὐτοκλείδου λέξιν παραγράψας ἐκ τῶν ἐξηγητικῶν φησιν, ὀξυθύμια τὰ καθάρματα λέγεται καὶ ἀπολύματα· ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους, ὅταν τὰς οἰκίας καθαίρωσιν. ἐν δὲ τῷ ὑπομνήματι τῷ κατὰ Δημάδου τὰ ἐν ταῖς τριόδοις φησὶν Ἑκαταῖα, ὅπου τὰ καθάρσια ἔφερόν τινες, ἃ ὀξυθύμια καλεῖται. Εὔπολις Δήμοις

ὃν χρῆν ἔν τε ταῖς τριόδοις κἀν τοῖς ὀξυθυμίοις
προστρόπαιον τῆς πόλεως κάεσθαι τετριγότα.

ἔστι τοὔνομα καὶ παρὰ Πυθέᾳ ἐν τῷ κατὰ Ἀδειμάντου.

Ὀπισθόδομος: Δημοσθένης ἐν τῷ περὶ συντάξεως "ἀνέῳξαν "δήπου πρώην τινὲς τὸν ὀπισθόδομον." ὁ οἶκος ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οὕτω καλεῖται, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα.

Ὀργάς: Δημοσθένης ἐν τῷ περὶ συντάξεως. ὀργὰς καλεῖται τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα, ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη τοιαύτη τις οὖσα, περὶ ἧς ἐπολέμησαν Ἀθηναῖοι Μεγαρεῦσιν.

Ὀργεῶνας: Ἰσαίου λόγος ἐστὶ πρὸς ὀργεῶνας, ὀργεῶνες δ' εἰσὶν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐστι τὸ θύειν καὶ

1. Αὐτοκλείδου—ἐξηγητικῶν om. 2. λέγεσθαι 3. καθαίρωσιν :— 10. Glossam similem substituit Suidas. 11. ὁ οἶκος—καλεῖται] ἐκαλεῖτο δὲ οὕτως ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οἶκος, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα :— 13. Δημοσθένης—καλεῖται om., habet D. ὀργὰς κ.] οὕτω κ. D. 15. οὖσα :— 17. ἐστὶ πρὸς] ἐστὶν εἰς

1. ἐξηγητικῶν] ἐξηγητῶν B.C.

3. εἰς] ἐς B.

4. τῷ κατὰ] εἰς τὸν κατὰ Maussacus. Fortasse τῷ εἰς τὸν κατὰ scribendum, nisi brevior illa loquendi ratio placuit grammatico.

— τριόδοις] διόδοις B.

— Ἑκαταῖα, ὅπου Valesius. Libri ἑκαταῖος (ἑκαταῖα affertur ex O.) ποῦ vel, quod est in Ald., ἑκαταῖός που.

7. τε addidit Porsonus Advers. p. 286.

— ταῖς] τοῖς B., om. C.

— τοῖς] τοῖσιν A.C. Ald.

8. προστρόπαιον Valesius. πρὸς τὸ τρόπαιον libri, quæ verba B. a m. rec. habet. Metrum versuum est quod grammatici Eupolideum vocant.

8. κάεσθαι Bekkerus. Libri καίεσθαι.

— τετριγότα Porsonus. περιτετριγότα A.C.G. Ald. περιτετριγότα B.

9. Ἀδειμάντου Ruhnk. ad Rutil. p. 41. Legebatur Ἀδείμαντος.

10. Δημοσθένης] p. 170, 6.

— συντάξεως Epitome. Libri τῆς συντάξεως.

12. ἀπετίθεντο] ἀπετίθουν A.

13. In margine hujus glossæ adscriptum in N. ὄχετος δῆμος τῆς λεοντίδος. Quod fictum ex p. 231, 5.

— Δημοσθένης] p. 175, 13.

14. ὀρεινὰ] ὀχληρὰ C.

— ἡ om. C.

15. ἐπολέμησαν Ἀθηναῖοι N. Ceteri ἐπολέμησεν Ἀθηνᾶ.

17. Ἰσαίου] ἴσαῖος οὗ C.

τὰ νομιζόμενα δρᾶν, ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε, ἢ παρὰ τὰ ὄργια, ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μυσοῖς. μήποτε δὲ ὕστερον νενόμισται τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι καὶ ὀργεῶνας ὁμοίως ὠνομάσθαι, ὡς ἔστι συνιδεῖν ἐκ τῶν Θεοφράστου διαθηκῶν.

Ὀργέων: ἀντὶ τοῦ ὀργεώνων Λυσίας ἐν τῷ περὶ τοῦ Θεοπόμπου κλήρου.

Ὀρικὰ ζεύγη: τὰ τῶν ὀρέων, τουτέστι τῶν ἡμιόνων, Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας· ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους καὶ Ὅμηρος καὶ Ἀριστοφάνης ἐν Βατράχοις δηλοῖ.

Ὀριγνηθῆναι: ἀντὶ τοῦ ἐπιθυμῆσαι Ἀντιφῶν Ἀληθείας α΄.

Ὀρκάνη: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος β΄. μήποτε ὁ φραγμὸς, τουτέστι τὸ περίφραγμα καὶ ἡ αἱμασιὰ, οὕτω καλεῖται, παρὰ τὸ ἐρύκειν ἢ παρὰ τὸ ἕρκος εἶναι. Ὅμηρος

αἱμασιὰς λέξαντες ἀλωῆς ἔμμεναι ἕρκος.

Ὀρνιθευτής: ὁ ὀρνιθοθήρας· Δείναρχος κατὰ Προξένου, Πλάτων

1. δρᾶν] ὁρᾶν ἤτοι] ἢ 2. δρᾶν] δραμεῖν (δρᾶν Phot. et Suidas) 3. ὡς—Μυσοῖς om. 5. ὀργεῶνας ὀνομάζεσθαι. 7. Λυσίας :— Gl. om. Phot. 9. ἡμιόνων :— 12. ἐπιθυμῆσαι :— 13. ἐν τῷ om. β΄ om. D. 14. οὕτως 16. αἱμασιὰς] ἐν μασίαις (αἱμασιὰς Phot. et Suidas) E.T. 17. ὀρνιθοθήρας :—

1. δρᾶν Valesius. Libri ὁρᾶν, in quo vitio non solum Epitome, sed etiam Moschopulus Σχεδ. p. 77. consentit.

— ἤτοι—δρᾶν om. B.

2. τοῖς ἄλσεσι] ταῖς ἄλσεσι A. Ald.

— ἄλσεσι] ἕλεσι N.

3. ἔταττον] καὶ ἔταττον A.

—Ἀντίμαχος] Antimachi Æschylique versus Photius in alia de voc. ὀργεῶνες glossa servavit, quam repetivit Suidas.

— τέ που] πού φησι B.C.

4. Αἰσχύλος] Fragm. 142.

— Μυσοῖς] μύσταις B.C. Ald. et fortasse A. Μυσοῖς primus posuit Blancardus.

6. Θεοφράστου διαθηκῶν] Servavit Diog. L. 5, 54. ubi ὀργεώνων nomen excidisse conjiciebat Salmasius: v. Menag. ad h. l.

7. 8. om. C.

7. τοῦ addidit Sauppius Fragm. p. 189.

8. κλήρου] κλήρῳ B. Ald.

9. τουτέστι Epitome. τουτέστι τὰ libri.

— Αἰσχίνης] p. 42, 36. 64, 30.

10. πρεσβείας] παραπρεσβείας Ald.

11. Ὅμηρος] Qui οὐρῆας dixit Il. 1, 50. et alibi.

— Βατράχοις] v. 290.

12. 'ΟΡΙΓΝΗΘΗ͂ΝΑΙ] ὀριγνησθῆναι A. Ald.

13. ὁ] καὶ ὁ B.C.

15. εἶναι additum ex Epitome.

— Ὅμηρος] Od. 24, 224.

17. ὁ om. B.C.

— κατὰ] ἐν τῷ κατὰ B.C.

ἢ Κάνθαρος Συμμαχίᾳ. ἔστι δὲ καὶ ἐν τῇ νέᾳ κωμῳδίᾳ δρᾶμα Ὀρνιθευτὴς Νικοστράτου.

Ὅρος: οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, δηλοῦντα ὅτι ὑπόκεινται δανειστῇ· Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν καὶ Μένανδρος Παρακαταθήκῃ.

Ὄρον: σκεῦός τι γεωργικὸν, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὑποσημαίνει. μήποτε μέντοι τὸ ὄρον παρά τε Αἰσχύλῳ ἐν Κερκύονι καὶ παρὰ Μενάνδρῳ ἐν β′ Ἐπικλήρῳ σημαίνει ξύλον τι, ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.

Ὀρρωδεῖν: ἀντὶ τοῦ φοβεῖσθαι Ἀνδοκίδης ἐν τῷ περὶ τῆς ἀδείας. πολὺ δ' ἐστὶ τοὔνομα παρ' αὐτοῖς. Ὀρρωδία δὲ τὸ δέος· Δημοσθένης ἐν δημηγορικοῖς προοιμίοις.

Ὄρυγμα: ἰδίως οὕτως ἐκαλεῖτο ἐφ' οὗ οἱ κακοῦργοι ἐκολάζοντο Ἀθήνησι· Λυκοῦργος κατ' Ἀριστογείτονος.

Ὅσιον: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονά φησι "καὶ τὰ "χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια," ὅ τε Ἰσοκράτης Ἀρεοπαγιτικῷ "καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις." ὅτι δὲ τὰ ὅσια τὰ δημόσια δηλοῖ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει περὶ τούτων·

4. δηλοῦντα] ἃ ἐδήλου 5. οὕτως Δημοσθένης καὶ Μένανδρος :— 6. ὡς Ἰσαῖος δηλοῖ. μήποτε μέντοι τὸ 7. Αἰσχύλῳ καὶ παρὰ Μενάνδρῳ ξύλον τι σημαίνει 8. ᾧ] ὁ E.T.D. 10. φοβεῖσθαι. καὶ ὀρρωδία τὸ δέος :— Duas alias gl. habent Phot. et Suidas. 13. ἐκολάζοντο :— 16. ὅσια καὶ Ἰσοκράτης, τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, τὰ δημόσια ὅσια λέγοντες. καὶ Δημοσθένης δὲ ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει τοῦτο. Δίδυμος δέ φησι διχῶς λέγεσθαι τὸ ὅσιον—ἰδιωτικόν :—

1. δὲ om. B.

4. χωρίοις γράμματα Epitome. Libri χωρὶς γράμμα, quod est in A., vel χωρὶς γραμμάτων ut B.C., vel χωρὶς γράμματος Ald. ὅρος χωρίου est in titulis ap. Boeckh. Corp. Inscr. vol. 1. p. 484. 485, ut monet Bekkerus.

5. Δημοσθένης] p. 1029, 27.

6. ὌΡΟΝ] ὅρος B. ὅρος N.

— ὡς om. C.

7. τὸ] τὸν B. καὶ τὸν C.

— ὅρον] ὅρος N.

— Αἰσχύλῳ] Fragm. 105.

— Κερκύονι Salmasius. κεραυνῶνι libri, quod ex κερκύωνι corruptum, ut nomen hoc plerumque in codicibus scribitur.

8. β′] δευτέρῳ Ald. Debebat δευτέρᾳ.

— Ἐπικλήρῳ] ἐπικλήρων C.

— ᾧ] ὁ C.

10. Ἀνδοκίδης] p. 20, 30.

11. Δημοσθένης] ὡς δημοσθένης A.

13. ἐφ' οὗ] ἀφ' οὗ C. ὅπου Sauppius Fragm. p. 260. qui de hoc loco dixit in dissert. de demis urbanis p. 18.

16. Ἰσοκράτης] p. 153 b.

18. Δημοσθένης] p. 738, 7. κλέπται καὶ ἱερόσυλοί εἰσι, τὰ μὲν ἱερὰ—

— περὶ] ἐπὶ Ald.

“καὶ τὰ μὲν ἱερὰ, τὰς δεκάτας τῆς θεοῦ καὶ τὰς πεντηκοστὰς τῶν “ἄλλων θεῶν, σεσυληκότες” καὶ μετ' ὀλίγα “τὰ δὲ ὅσια ἃ ἐγίνετο “ἡμέτερα κεκλοφότες.” Δίδυμος δὲ “διχῶς” φησὶν “ἔλεγον τὸ “ὅσιον, τό τε ἱερὸν καὶ τὸ ἰδιωτικόν.”

Ὀσχοφόροι: Ὑπερείδης ἐν τῷ κατὰ Δημέου, εἰ γνήσιος. περὶ τῶν ὀσχοφόρων ἄλλοι τε εἰρήκασι καὶ Φιλόχορος ἐν τῇ β'. ὁ δὲ Ἴστρος ἐν τῇ ιγ' περὶ Θησέως λέγων γράφει οὕτως, ἕνεκα τῆς κοινῆς σωτηρίας νομίσαι τοὺς καλουμένους ὀσχοφόρους καταλέγειν δύο τῶν γένει καὶ πλούτῳ προυχόντων. ἡ δὲ ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δὲ ὀρεσχάδα ἔνιοι καλοῦσιν.

Ὅτι νόμος ἐστὶν ὑπὲρ μ' ἔτη γενόμενον χορηγεῖν παισὶν Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ὅτι ξένους τινὰς ἑαυτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργείῳ καὶ δεδεμένους παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππου Σάτυρος Αἰσχίνης μὲν ἐν τῷ περὶ τῆς πρεσβείας φησὶ, Δημοσθένης δ' ἐν τῷ κατ' Αἰσχίνου φησὶν ὅτι Ἀπολλοφάνους θυγατέρας ἐξῃτήσατο, καὶ ἔοικε μᾶλλον ἀληθεύειν· καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν λέγει ὡς Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν.

5.—8. Ὑπερείδης—καταλέγειν om. 8. δύο] δύο ἦσαν 9. προεχόντων E.T.D. et Suidas. διαφερόντων Phot. 10. δ' ἔνιοι ὀρεσχάδα καλοῦσιν :— 11. παισίν :— 15. ἀμπελουργίῳ (ἀμπελουργείῳ Phot.) 16. ἐν τῷ παραπρεσβείας (ἐν τῷ περὶ παραπρεσβείας Phot.) φησὶν, ὁ δὲ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου λέγει ὅτι τὰς Ἀπολλοφάνους—λέγει, Σατύρῳ

2. σεσυληκότες ex Demosthene restitutum pro σεσυληκότας.

— ἐγίνετο] ἐγένοντο C. ἐγένετο B. Ald.

— ἡμέτερα] ὑμέτερα apud Demosthenem.

5. Δημέου Blancardus. Libri δημαίου.

— γνήσιος] ὁ λόγος addit A.

6. β' Boeckhius in comment. de Philochoro in Actis Acad. Boruss. p. 11. Legebatur ιβ', quod δωδεκάτῃ scriptum in Ald.

— ὁ δὲ Ἴστρος ἐν τῇ ιγ' om. Ald.: habent codices. Ex suis primus supplevit Maussacus.

7. Θησέως] θέσεως B.C. Ald.

9. δὲ om. A.

11. Αἰσχίνης] p. 2, 25.

12. τῇ] τῇ τῶν C.

14. τινας] καί τινας B.C.

15. ἀμπελουργείῳ] Scribebatur ἀμπελουργίῳ. Correxi ex Æschine p. 49, 13.

— πότον] πόντον B.C.

16. πρεσβείας] παραπρεσβείας Ald.

17. Δημοσθένης—φησὶν om. C.

— Δημοσθένης] p. 401 extr.

— θυγατέρας] θυγατέρα A.

— καὶ—ἀληθεύειν om. C.

18. γὰρ om. Ald.

19. Φίλιππον] φιλίππου Ald.

Ὅτι οἱ ἁλόντες ἐπ' ἀκουσίῳ φόνῳ ἐξουσίαν εἶχον εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους ὑποσημαίνει καὶ Θεόφραστος ἐν τῷ ιγ' τῶν Νόμων δηλοῖ.

Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου, Ἀντιφῶν ἐπιτροπικῷ κατὰ Καλλιστράτου καὶ Σόλων ἐν κα' Νόμων.

Ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο εἴρηκεν Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην τὸν Σωκρατικόν, εἰ γνήσιος ὁ λόγος.

Ὅτι πρὸς τὴν φυλὴν τοῦ κεκτημένου αἱ πρὸς τοὺς δούλους λαγχάνονται δίκαι Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς Ἀπολλόδωρον δηλοῖ.

Ὅτι παιδὶ καὶ γυναικὶ οὐκ ἐξῆν συμβάλλειν πέρα μεδίμνου κριθῶν Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀριστάρχου κλήρου φησίν.

Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας β' εἴρηκεν. Κρώβυλος δὲ ὁ

1. ἐξουσίαν om. (habent deteriores Suidæ libri) 2. Δημοσθένης δὲ (τε Phot. et Suidas) 3. δηλοῖ om. 5. καταλείποιεν (καταλίποιεν Phot. et deteriores Suidæ libri) ποιησαμένου :— 8. ἐτίθετο :— 11. κτησαμένου 12. δίκαι :— 14. συμβάλλειν] ἐμβάλλειν κριθῶν :— 16. γυναῖκες :—

1. ἐξουσίαν Ald., quod ex vulgatis Suidæ libris illatum. Nam Suidæ codex optimus id omittit, neque habet Epitome. Pro eo in A. est φρόντονα, in Q. φόρτωνα, in B. C.G.P. φρόντωνα, quod etiam in D. legitur post ἰδίων. De N. tacetur.

2. Δημοσθένης] Videtur ad ea spectare quæ p. 634. dicuntur.

5. καταλίποιεν] κατέλιπον B.C.

6. κατὰ addidit Sauppius Fragm. p. 139. qui similium titulorum exempla apud Meier. de lite Att. p. 443. comparat.

— κα'] εἰκοστῇ πρώτῃ Ald. καω C.

9. εἰ γνήσιος ὁ λόγος om. C.

11. φυλὴν] φυλακὴν C. ut alibi interdum. Verbis πρὸς τὴν φυλὴν aut magistratum nobis ignotum aut quadraginta viros (de quibus Herm. Ant. Gr. §. 146, 10.) indicari conjecit Meier. in comment. de diætetis Athen. p. 24. Sauppio (Fragm. p. 228.) de diætetis publicis cogitandum esse videtur, quos ex universis Atheniensibus electos esse, quum vero electi essent, cuique tribui sortitione suos diætetas assignatos esse videri.

14. συμβάλλειν] ἐμβάλλειν A. superscripto γρ. συμ.

15. τοῦ om. B.

— Ἀριστάρχου] Legebatur Ἀλεξάνδρου. Quæ oratio ab nemine memorata. Locus Isæi est in orat. περὶ τοῦ Ἀριστάρχου κλήρου p. 80, 30. Hujus igitur nomen restitui cum Valesio.

— κλήρου Maussacus pro κλήρῳ.

17. Ἀρισταγόρας] ἀρισταγόρου Ald.

κωμικός φησι τοῦ Φιλιππίδου τὸν νόμον εἶναι τὸν περὶ τούτων κείμενον.

Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία ἐστὶν ἐλλιπῶς λεγομένη· προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας.

Οὐσίας δίκη: οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην· ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίου, τῶν δὲ χωρίων καρποῦ, τρίτη δὲ ἐπὶ τούτοις ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων καὶ εἰ τὴν δίκην τὴν τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου καὶ εἰ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς οὐσίας· εἰ δὲ καὶ ἐξούλης ἁλοῖεν, οὐκέτι ἐξῆν ἐπικρατεῖν, ἀλλ' ἐξίστασθαι ἔδει ἤδη τῶν κτημάτων τοῖς καταδικασαμένοις. ταῦτα δὲ ἔστι μὲν καὶ παρ' ἄλλοις ῥήτορσιν, ἀκριβέστατα δὲ εἴρηται Ἰσαίῳ ἔν τε τῷ πρὸς Τιμωνίδην περὶ χωρίου καὶ ἐν τῷ πρὸς Δωρόθεον ἐξούλης. διείλεκται δὲ περὶ τῆς δίκης καὶ Θεόφραστος ἐν ιη' περὶ νόμων.

Ὀφρύνιον: Δημοσθένης ἐν τῷ πρὸς Ἀπατούριον. πόλις ἐστὶ τῆς Τρῳάδος, ὡς δηλοῖ Ἀνδροτίων ἐν γ' Ἀτθίδος.

Ὀχεῖον: ἀντὶ μὲν τοῦ ὄχημα Δείναρχος ἐν ἀπολογίᾳ πρὸς Ἀντιφάνην περὶ τοῦ ἵππου, ἀντὶ δὲ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον ὁ

3. 'ΟΡΜΕΙ'] ὁρμῇ 4. ἐλλειπῶς (ἐλλιπῶς Phot. et Suidas. ἐλλειπτικῶς D.) εἰρημένη. προσυπακουστέον (ὡς ὑπακουστέον E.T.) δὲ ἔξωθεν 5. τὸ ἀγκύρας] τῆς ἀγκύρας libri Suidæ uno excepto. 7. τῶν μὲν οἰκιῶν ἦν (non Phot. et Suidas) 8. χωρίων] χωρῶν τούτοις] τούτων 9. καὶ εἰ τὴν δίκην] κἂν τὴν δίκην (καὶ τὴν δίκην Phot. et Suidas) 10. τὴν post δίκην om. καὶ εἰ] εἰ καὶ (ἢ καὶ Phot. et Suidas) 11. ἐπικρατεῖν] κρατεῖν 12. ἔδει post τῶν κτημάτων καταδικασαμένοις:— 18. Τρῳάδος:— (Verba π. ἐστὶ τῆς Τ. ante Δημοσθένης ponit Phot.) 19. Δείναρχος ἐχρήσατο. ἐχρήσατο δὲ ὁ αὐτὸς ἀντὶ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον. φησὶν γάρ, (γοῦν D.) ὀνοῦνταί (ὠνοῦνται Suidas) μοι τῶν ἵππων ὀχεῖον. Λυκοῦρ-

3. ΤΗ'Σ ΑΥ'ΤΗ'Σ] τοῖς αὐτοῖς C.
— Δημοσθένης] p. 319, 18.
4. ἐλλιπῶς B. C. N. Ald. ἐλλειπῶς A.
8. τρίτη—τὴν τοῦ καρποῦ om. C.
— δὲ post τρίτη additum ex Epitome.
— τούτοις] τῆς B.
9. τὴν δίκην] τὴν πρώτην δίκην Bekkerus. Non opus.
11. δὲ] δὲ καὶ B.C.
17. 'ΟΦΡΥ'ΝΙΟΝ ex Epitome pro 'Οφρύνειον.
— Δημοσθένης] p. 899, 1.
— ἐστὶ] δέ ἐστι C.
19. μὲν τοῦ] τοῦ μὲν C.
20. τοῦ ἵππου] τῆς ἵππου C.
— ἀποδεδειγμένον] ἀποδεδειγμένου A.B.

αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· φησὶ γὰρ "ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον." Λυκοῦργος δ' ἐν τῷ περὶ διοικήσεως γείτονας τοῦ ὀχείου φησί· μήποτε δὲ ἐπὶ τόπου τινός, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦται.

Π.

Παγασαί: Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν ἐστι Φεραίων αἱ Παγασαί, ὡς Θεόπομπος ἐν τῇ ε' τῶν Φιλιππικῶν δηλοῖ.

Παιανιεῖς καὶ Παιονίδαι: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος "ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν "ὄντα." Δίδυμος γραπτέον εἶναί φησι Παιανέα, χωρὶς τοῦ ι. εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος κα-

γος—διοικήσεως (οἰκήσεως Phot.)—μήποτε (καὶ μήποτε Phot. et Suidas) ἐπὶ τόπου τινὸς ἔλαβον τὴν λέξιν ἐν ᾧ—μισθοῦται :—

6. ΠΑΓΑΣΑΙ'] Παγάς Suidas. ἐν] ἐν τοῖς Phot. Φεραίων] Φερέον :— φορέων (sic, non φερέων) D. Φεραῖον Suidas. Φεραίων Photius. 8. ΠΑΙΑΝΙΕΙ^Σ καὶ ΠΑΙΟΝΙ'ΔΑΙ. δῆμοι διττοί εἰσι Παιανίων (Παιανιέων Phot.) τῆς Πανδιονίδος φυλῆς, ὡς Διόδωρος καλεῖσθαι φησὶ Παιανίαν Παιανιαίαν (Παιανίαν Phot.) καθύπερθεν καὶ Παιανίαι (Παιανίαν Phot. Παιανιαίαν Suidas) ὑπένερθε (ὑπένερθεν Phot. et Suid.) τὸν δὲ δημότην ἑκατέρου δήμου καλεῖσθαι ὁμοίως Παιανιαία (παιανιαῖα Suidæ libri optimi pro vulgato Παιανιέα, quod est ap. Phot.). διαφέρουσι δὲ οὗτοι τῶν Παιονίδων (Παιονιδῶν Phot. Παιανίδων Suidas). δῆμος δέ ἐστι καὶ οὗτος τῆς Λεοντίδος :—

1. γὰρ ex Epitome additum.
— ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον] *Emunt s. conducunt equum meum ad admissuram*, ut recte interpretatur Stephanus Thes. vol. 5. p. 2465. ed. Paris. Nam ὀχεῖον non adjectivum est, quæ quorundam opinio fuit, sed substantivum. Pro adjectivo qui habuit Saupp. Fragm. p. 263. τὸν ἵππον τὸν ὀχεῖον scripsit.
2. δ' om. B.C. Ald.
— διοικήσεως] τῆς διοικήσεως B.C.
3. κτηνῶν Epitome. Libri τῶν κτηνῶν.
— ἢ—μισθοῦται] ἢ—ὀχεῖται C.
6. Δημοσθένης] p. 11, 18. 15, 18. 21, 14.
— ἐν om. C.
— ἐστι ex Epitome pro εἰσι.
— Φεραίων] φερέων A. Ald.
7. ε' om. B.C.
8. ΠΑΙΑΝΙΕΙ^Σ] παιανεῖς C.
— ΠΑΙΟΝΙ'ΔΑΙ] παιανίδαι in Lexico cod. Coisl. 177. ap. Montef. p. 238.
— Αἰσχίνης] p. 60 extr.
9. ἐγράψατο—Δημομέλη] ἐγράψαντο—δημοσία libri. Correctum ex Æschine.
10. Δίδυμος—χωρὶς τοῦ ι' om. C.
— Παιανέα Bekkerus. Libri παιανιέα. ΠΑΙΑΝΕΥΣ apographorum quorundam vitium pro ΠΑΙΑΝΙΕΥΣ in inscr. 522. et 747. ap. Boeckhium memorat Bekkerus. Constans in inscriptionibus scriptura Παιανιεύς est, neque apparet quomodo Didymus de forma Παιανεύς cogitare potuerit.
— τοῦ ι'] τοῦ ῃ B. Ald.
11. οὓς Blancardus. ὡς libri.

λεῖσθαί φησι Παιανίαν καθύπερθεν καὶ Παιανίαν ὑπένερθεν· ὁμοίως δ' ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαί φησι Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιονιδῶν, ὡς Ἴστρος ἐν Ἀτάκτῳ ὑποσημαίνει. μνημονεύουσι δὲ καὶ τούτων οἱ ῥήτορες, ὥσπερ καὶ Δείναρχος ἐν τῷ κατὰ Στεφάνου περὶ τοῦ ὀχετοῦ. δῆμος δέ ἐστιν οὗτος τῆς Λεοντίδος, ὡς ὁ αὐτὸς Διόδωρος δηλοῖ.

Παλιναίρετος: Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε παλιναίρετον λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινὰς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει, ὡς ἐν αὐτῷ τῷ λόγῳ δείκνυται· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτ' ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὦφλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν, ὡς δηλοῦται καὶ τοῦτο ἐν τῷ λόγῳ. ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν τοῖς Ἰχθύσι λέγων

7. ΠΑ'ΛΙΝ ΑΙ'ΡΕΤΟ'Σ (παλιναίρετος Phot. et Suidas). Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει· μήποτε δὲ αἱρετὸν (αἵρετον T.) λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ (ἐπειδὴ γὰρ Phot.) συκοφαντῶν τινὰς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτο ἐκωλύετο τὸ (τοῦ D. τὸ om. Phot. et Suidas) λέγειν, πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὤφειλεν· ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν. ἐκάλουν δὲ τοὺς τοιούτους πάλιν αἱρετοὺς (παλιναιρέτους Phot. et Suidas). ἀλλὰ καὶ τοὺς ἀποχειροτονηθέντας ἄρχοντας (ἀρχὴν Suidas, cujus codex optimus tota hac glossa caret) τινὰ ἀρχὴν (ἄρχειν Suidas) καὶ πάλιν χειροτονηθέντας. Πίνδαρος

1. Παιανίαν — Παιανίαν] παιανιέων—παιανιέων A. Ceteri παιανιέαν utrobique, nisi quod παιανιέα G. Ego comparata Epitomes scriptura utrobique Παιανίαν restitui. Sic Λαμπτραὶ αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν dixit Harpocratio s. h. v.

1. 2. Παιανίαν κ.—καλεῖσθαί φησι om. C.

1. Παιανίαν κ. καὶ Παιανίαν om. B.

— καθύπερθεν] καθύπερθε A.

3. δὲ] οὖν C. om. B.

— οὗτοι om. C.

— Ἀτάκτῳ] Scribendum videtur Ἀτάκτοις, ut apud alios scriptores hunc Istri librum memorantes.

5. ἐστιν Sauppius Fragm. p. 333. Legebatur ἐστι καί.

5. Λεοντίδος] λεωνίδος C.

6. ὁ additum ex A.

7. ΠΑΛΙΝΑΙ'ΡΕΤΟΣ] πάλιν αἱρετὸς A.B. Ald. unde παλιναιρετὸς oxytonum est in C. pariterque mox in accusativo, ubi πάλιν αἱρετὸν et πάλιν αἱρετοὺς A.B. Ald.

— τῇ] τῷ C.

12. τὴν ζημίαν om. N.

— ὦφλεν Sauppius Fragm. p. 326. Legebatur ὤφειλεν.

13. ἐν τῷ] ἐν τῷ αὐτῷ N.

15. Βάπταις] βαπταῖς A.

— δηλοῖ] φησὶ C.

— τοῖς om. C.

αἱρουμένους τε πραγμάτων ἐπιστάτας
ἀποδοκιμάζειν, εἶτα δοκιμάζειν πάλιν
ἢν οὖν ποιῶμεν ταῦτα, κίνδυνος λαθεῖν
ἀπαξάπαντας γενομένους παλιναιρέτους.

ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις.

Παλίνσκιον: Ἰσαῖος μὲν ἐν τῷ πρὸς ὀργεῶνας "μήτε παλίν- "σκιον γίγνεσθαι τὸ χωρίον" ἀντὶ τοῦ σύσκιον, Ἀρχίλοχος δὲ τριμέτροις

πρὸς τοῖχον ἐκλίνθησαν ἐν παλινσκίῳ

ἀντὶ τοῦ ἐν σκοτεινῷ, καὶ Σοφοκλῆς Ἰνάχῳ

χειμῶνι σὺν παλινσκίῳ

ἀντὶ τοῦ ζοφερῷ.

Παλίμβολον: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ὁ πολλάκις ἐπ' ἐμπολῇ μεταβεβλημένος παλίμπρατος παλίμβολος λέγεται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δεινάρχου κατὰ Πολυεύκτου καὶ ἐκ τοῦ Μενάνδρου Σικυωνίου.

Παλληνεύς: Ὑπερείδης ἐν τῇ ὑπὲρ Χαιρεφίλου ἀπολογίᾳ. Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα Δεί-

δὲ ἐν Διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει:—

7. ΠΑΛΙ´ΣΚΙΟΝ (*παλίνσκιον* Phot. et Suidas). *Ἰσαῖος μὲν ἀντὶ τοῦ σύσκιον· Ἀρχίλοχος δὲ ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς "χειμῶνι παλινσκίῳ" ἀντὶ τοῦ ζοφερῷ:*— Suidæ codex A. omissa hac glossa in marg. habet *παλίνσκιον, σύκιον* (i. e. *σύσκιον*), *σκοτεινόν.* 14. ΠΑΛΙ´ΜΒΟΛΟΝ. *Αἰσχίνης ἐν τῷ* (*περὶ* add. Phot.) *παραπρεσβείας· ὁ πολλάκις ἐπεμπολλῇ* (*ἐπεμβολῇ* D. *ἐπ' ἐμπολῇ* Phot.) *μεταβεβλημένος* (*καὶ λεγόμενος* addit Phot.) *ἐν τῷ βίῳ παλίμπρατος παλίμπολος* (*παλίμβολος* Phot.) *ἐλέγετο, ὡς Δείναρχος δηλοῖ καὶ Μένανδρος:*— Hanc gl. om. Suidas, qui duas alias habet. 17. ΠΑΛΛΗΝΕΥ´Σ. *Παλλήνη δῆμος τῆς Ἀντιοχίδος· τὸ δὲ ἐκ τόπου ἐπίρρημα Παλληνῆ-*

2. *εἶτα δοκιμάζειν* addidit Porsonus Advers. p. 281.

4. *παλιναιρέτους*] Hic quoque libri *πάλιν αἱρετούς.*

5. *Πίνδαρος*] Fragm. 54.

7. *μὲν* quodque ei respondet *δὲ* additum ex Epitome.

— *μήτε*] *μήποτε* C.

8. *γίγνεσθαι*] *γενέσθαι* C.

10. *ἐκλίνθησαν* Toupius. Libri *ἐκινήθησαν.*

10. *παλινσκίῳ*] *παλισκίῳ* N.

11. *Σοφοκλῆς*] Fragm. 272.

14. *Αἰσχίνης*] p. 33, 24.

— *πρεσβείας*] *παραπρεσβείας* Ald.

15. *ἐπ' ἐμπολῇ* ex Epitome. *ἐπεμβολῇ* A.N. *ἐν πολλῇ* C. *ἐμπολῇ* Ald. *ἐμβολῇ* O.

— *μεταβεβλημένος*] *καταβεβλημένος* B.

16. *τε* om. B.C.

19. *τῆς* om. B.C.

ναρχος ἐν τῷ κατὰ Στεφάνου Παλλήνηθέν φησιν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δ' ἐστὶ καὶ ἐν Θρᾴκῃ Παλλήνη γνώριμον.

Παλαμναῖος: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου. τοὺς αὐτοχειρίᾳ τινὰς ἀνελόντας τῇ παλάμῃ παλαμναίους ἐκάλουν, ὡς καὶ Αὐτοκλείδης ἐν ἐξηγητικῷ ὑποσημαίνει.

Παμβωτάδης: Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. Παμβωτάδαι τῆς Ἐρεχθηΐδος δῆμος.

Πανδαισία: Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα. ἔστι μὲν τοὔνομα πολλάκις καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί. ἡ γὰρ τοῦ Διδύμου ἀπόδοσις περίεργος.

Πάνδημος Ἀφροδίτη: Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδημόν φησιν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Νίκανδρος ἐν ϛ' Κολοφωνιακῶν Σόλωνά φησι σώματα

θεν (Παλλήνηθεν Phot. In Suidæ libris vel παλληνόθεν cum Zonara p. 1525, vel παλληνήθεν vel παλληνίθεν). ὁ δὲ δημότης Παλληνεύς. ὅτι δέ ἐστιν καὶ ἐν (ἐστιν ἐν Suidæ codices præter unum) Θρᾴκῃ Παλλήνη γνώριμον :—

3. ΠΑΛΑΜΝΑΙ῀ΟΣ. τοὺς αὐτοχειρία τινὰς ἀνελόντας τῇ παλάμῃ παλαμναίους ἐκάλουν :— Glossam omisit Suidas, alia substituta. 6. ΠΑΜΒΩΤΑ'ΔΕΣ (Παμβωτάδαι D.). Παμβῶται δῆμος τῆς Ἐρεχθιΐδος (Ἐρεχθηΐδος Suidas. Totam gl. om. Phot.) :— 8. ΠΑΝΔΑΙΣΙ'Α. ἡ πάντα ἔχουσα ἄφθονα καὶ μηδὲν ἐλλείπουσα ἐν τῇ δαιτί :— 12. ΠΑ'ΝΔΗΜΟΣ 'ΑΦΡΟΔΙ'ΤΗ. οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγοράν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον (ἐνταῦθα δῆμον πάντα D.) συνάγεσθαι τὸ παλαιόν· ἃς ἐκάλουν ἀγοράς· ἔστι δὲ τὸ πάνδημον πάγκοινον :—

1. ὁ δὲ ex Epitome pro ὁ οὖν.

3. τοὺς additum ex Epitome.

4. Αὐτοκλείδης] αὐτοκλεῖ A.

6. ΠΑΜΒΩΤΑ'ΔΗΣ] παμβωτάδεις B.C. Ald.

— Δημοσθένης] p. 1250. ubi est Ἀρκέσαντι Παμβωτάδῃ.

— Δημοσθένης — πανδαισία om. B.C.

8. μὲν] δὲ C.

9. ἐστι Ald. εἶναι εἴληφα A. εἶναι εἴληφε B.C.

11. Πατροκλέους] προκλέους B. πρωκλέους A.

13. γνήσιος] ὁ λόγος addit A.

14. ἀφιδρυθεῖσαν] ἀμφιδρυθεῖσαν B.C.

— τὴν ἀρχαίαν ἀγορὰν] De qua v. Boeckh. Corp. Inscr. vol. 1. p. 470. Forchhammer. in Topogr. Athenarum (Kilon. 1841.) p. 38—40. Raoul-Rochette in *Journal des Savants* 1851. p. 551.

15. συνάγεσθαι] ἀνάγεσθαι A.

— τὸ] τὸν A.B. Ald.

16. ϛ'] ἕκτῳ Ald. ἕκτη C. θι N. Fortasse τρίτῳ restituendum ex Athenæo 13. p. 569 d. καὶ Φιλήμων δ' ἐν Ἀδελφοῖς προσιστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν

ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους, καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν. ἔστι δὲ τὸ πάνδημον πάγκοινον.

Πάνδια: ἑορτή τις Ἀθήνησι μετὰ τὰ Διονύσια ἀγομένη.

Πανδοσία: Δημοσθένης Φιλιππικοῖς. περὶ τῆς ἁλώσεως τῶν ἐν Κασσωπίᾳ πόλεων, ὧν ἐστι καὶ Πανδοσία, Θεόπομπος ἐν γ′ ἱστόρηκεν.

Πανδιονίς: Δημοσθένης κατὰ Μειδίου. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις ἐστί, κληθεῖσα ἀπὸ Πανδίονος τοῦ Ἐριχθονίου, ὡς ἄλλοι τε πολλοὶ λέγουσι καὶ Ὑπερείδης ἐν τῷ ὑπὲρ Φορμισίου.

Παναθήναια: Δημοσθένης Φιλιππικοῖς. διττὰ Παναθήναια ἤγετο Ἀθήνησι, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτόν, τὰ δὲ διὰ πεντετηρίδος, ἅπερ καὶ μεγάλα ἐκάλουν. Ἰσοκράτης Παναθηναϊκῷ φησι "μικρὸν δὲ πρὸ τῶν μεγάλων Παναθηναίων." ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος ὁ Ἡφαίστου, καθά φησιν Ἑλλάνικός τε καὶ Ἀνδρο-

4. ΠΑ'ΝΔΕΙΑ (Πάνδια Phot.). *ἑορτή τις Ἀθήνησιν μετὰ τὰ Διονύσια ἀγομένη*:— Ceterum Epitome hanc gl. proximæ postponit. 5. ΠΑΝΔΟΣΙ'Α. *πόλις μία τῶν ἐν Κασωπίᾳ*:— 8. ΠΑΝΔΙΩΝΙ'Σ (Πανδιονίς Phot.). *μία τῶν ι′ φυλῶν παρὰ Ἀθηναίοις· ἀπὸ Πανδίωνος* (–ονος Phot.) *τοῦ Ἐριχθονίου κληθεῖσα*:— 11. ΠΑΝΑΘΗ'ΝΑΙΑ. *διττὰ Παναθήναια ἤγετο Ἀθήνησιν, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτόν, τὰ δὲ διὰ πενταετηρίδος* (*πεντετηρίδος* Phot.), *ἃ καὶ μεγάλα ἐκάλουν· ἤγαγεν δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος* (*ὁ* addunt Phot. et Suidas) *Ἡφαίστου· τὰ δὲ Παναθήναια πρότερον Ἀθήναια ἐκαλοῦντο*:—

ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος, καθὰ καὶ Νίκανδρος ὁ Κολοφώνιος ἱστορεῖ ἐν τρίτῳ Κολοφωνιακῶν, φάσκων αὐτὸν καὶ πανδήμου Ἀφροδίτης ἱερὸν πρῶτον ἱδρύσασθαι, ἀφ' ὧν ἠργυρίσαντο αἱ προστᾶσαι τῶν οἰκημάτων.

P. 233, 16. Κολοφωνιακῶν] κολωνιακῶν B. κολοφωνικῶν N.

P. 234, 1. στῆσαι] στήσασθαι A.

2. περιγενομένων] περιγινομένων A. Ald.

— Ἀφροδίτης] ἀφροδίτη B.C.

— πανδήμου Maussacus pro πάνδημον.

3. τὸ additum ex Epitome.

4. ΠΑ'ΝΔΙΑ (πάνδεια Ald.) —] Hanc gl. post gl. παραγραφή habent B. Ald., om. A.C. Spectat glossa, ut videtur, ad Demosth. p. 517, 10.

5. Δ. Φ.] φ. δ. B.C. Locus Demosthenis est p. 84, 22.

6. ἐν om. B.

— Κασσωπίᾳ] κασωπίᾳ Epitome. κασσωπείᾳ C. Ald. κασωπείᾳ A. κασεπείᾳ B. Restitui Κασσωπίᾳ ex Demosthene. Duplex σ omnes probasse uno excepto Herodiano refert Steph. Byz. s. v. Κασσώπη.

8. ΠΑΝΔΙΟΝΙ'Σ] πανδιωνίς C. Ald.

— Δημοσθένης] p. 518 extr.

11. Δημοσθένης Φιλιππικοῖς] Immo de falsa leg. p. 394, 2.

12. πεντετηρίδος] πενταετηρίδος A. Ald.

13. Ἰσοκράτης] p. 236 c.

14. πρῶτος Ἐριχθόνιος ex Epitome pro ὁ Ἐριχθόνιος.

τίων, ἑκάτερος ἐν α' Ἀτθίδος. πρὸ τούτου δὲ Ἀθήναια ἐκαλεῖτο, ὡς δεδήλωκεν Ἴστρος ἐν γ' τῶν Ἀττικῶν.

Πάνακτος: Δημοσθένης κατὰ Κόνωνος. πόλις ἐστὶ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ὡς καὶ Εὐριπίδης ἐν Αἰγεῖ μνημονεύει. Θουκυδίδης μὲν οὖν οὐδετέρως καλεῖ τὸ χωρίον ἔν τε ἄλλοις κἀν τῇ ε', ἀρρενικῶς δὲ Μένανδρος ἐν Ψοφοδεεῖ.

Πάνδροσος: ὄνομα γυναικός.

Παραγραφή: οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἰδίως Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεώς φησιν "λέγε ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς," ὅπερ ἐστὶν ἀπὸ τῆς γραμμῆς ἣν μέχρι νῦν παράγραφον καλοῦμεν· καὶ ἔστι τὸ λεγόμενον, ἀφ' οὗ παρέγραψα· τοῦτο δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην. ὁ δ' Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους "οὐδὲ μέχρι παραγραφῆς" φησὶν ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου, ὅ ἐστι περιγεγραμμένου.

Παραγγελία: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου "ὅση σπουδὴ "καὶ παραγγελία περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε." καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος·

3. ΠΑ'ΝΑΚΤΟΣ. *πόλις μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας· Θουκυδίδης δὲ καὶ οὐδετέρως καλεῖ τὸ χωρίον, Μένανδρος δὲ ἀρρενικῶς* (*ἀρσενικῶς* Phot. et Suidas) :— 9. *Ἰσοκράτης παραγραφῆς εἶπεν ἀντὶ τοῦ ἀπὸ τῆς γραφῆς* (*ἀπογραφῆς* Phot.)· *καὶ ἔστι τὸ λεγόμενον παρ' αὐτοῦ* (*αὐτῷ* ap. Suidam, sed codices *αὐτοῦ*, excepto, si quid tribuendum silentio, A.) *ἀφ' οὗ παρέγραψα* (*ἀντέγραψαν* Phot.)· *τοῦτο* (*ταῦτα* Phot.) *δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην· ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους, οὐδὲ μέχρι παραγραφῆς φησὶν, ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου* (*ὅπέρ ἐστι περιγεγραμμένου* addunt Phot. et Suidas) :— 16. ΠΑΡΑΓΓΕΛΙ'Α. *περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε· καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ*

1. *ἐκαλεῖτο*] *ἐκαλοῦντο* C.
3. *Δημοσθένης*] p. 1257, 4.
4. *Εὐριπίδης*] *παρ' εὐριπίδῃ* A.
— *Αἰγεῖ* Maussacus. *αἰγίδι* A. Ald. *αἰγὶ* B.C.
5. *Θουκυδίδης*] 5, 3. et 42.
— *ἐν* om. B.
6. *Ψοφοδεεῖ* Maussacus. *ψηφώδεσιν* B. Ald. *ψηφώδεσσι* C. *ψηφώσεεσιν* A.
8. *τοῦ* om. C.
— *γνωρίμου*] *ἰδίου* C.
9. *Ἰσοκράτης*] p. 322 a.
— *φησιν* :— C.
11. *γραμμῆς*] *γραφῆς* B. Ald.
— *ἣν* N. Ceteri *ἧς*.
14. *παραγεγραμμένου*] *παραγεγραμμένον* A.
— *περιγεγραμμένου*] *παραγεγραμμένου* B. *περιγεγραμμένον* A.
16. Addidi verba *Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου*.
— *ὅση σπουδὴ καὶ παραγγελία*] His quoque verbis libri carent. Ex initio orationis Demosthenicæ supplevit Maussacus.
18. *ἐν τῷ*] *αὐτῷ* A.
— *κατὰ Κτησιφῶντος*] In initio.

"τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν "ὅση γεγένηται, καὶ τὰς κατ' ἀγορὰν δεήσεις αἷς κέχρηνταί τινες." Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει "καὶ τὰς ἰδίᾳ παραγ-"γελίας γεγενημένας καὶ τὰς δεήσεις."

Παράκλησις: ἀντὶ τοῦ προτροπή. Ἰσοκράτης Παραινέσεσι "διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες." τίθεται μέντοι σπανίως καὶ ἀντὶ τῆς δεήσεως· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας προειπὼν "εἰ μὲν ὑπὲρ ἰδίου τινὸς ἦν ὁ ἀγών, ἐδεόμην ἂν "ὑμῶν μετ' εὐνοίας ἀκοῦσαί μου" μετ' ὀλίγον φησὶν "νυνὶ δὲ αὐτοὺς "ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς παρακλήσεως τῆς ἐμῆς."

Πάραλος: Δημοσθένης Φιλιππικοῖς. μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα Παράλου. οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο Πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταράς τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖον μέρος τοῦ ἐνιαυτοῦ οἴκοι ἔμενον, ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως, ὥς φησιν Ὑπερείδης ἐν τῷ κατ' Ἀρχεστρατίδου. μέμνηται δὲ τοῦ Παράλου ἥρωος καὶ Φύλαρχος ἐν κα'.

Κτησιφῶντος· τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παράταξιν ὅση γεγένηται. καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνται τινές· Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει· καὶ τὰς ἰδία (ἰδίας Phot. et Suidas) παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις :—

6. γράψαντες. Λυκοῦργος δὲ ἀντὶ τῆς δεήσεως ἐχρήσατο, λέγων· ὑμᾶς οἶμαι τοῦτο ποιήσειν, καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως :— 11. ΠΑ'ΡΑΛΟΣ. Δημοσθένης (ἐν addit D.) Φιλιππικοῖς· μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων (παραπεμπομένων Suidæ codex A.) τριηρῶν, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. παράλιοι (πάραλοι Phot. et Suidas) δ' ἐκαλοῦντο οἱ ἐπιβεβηκότες αὐτῆς (αὐταῖς Phot.)· οἳ καὶ διὰ ταύτην τὴν ὑπηρεσίαν, τέσσαράς τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖστον τοῦ ἐνιαυτοῦ οἴκοι τε ἔμενον, καὶ ἄλλα τινὰ ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως :—

1. τὴν παράταξιν] τὴν om. A.
2. ὅση γεγένηται om. C. ὅση— τινες om. N.
— κατ' ἀγορὰν] κατὰ τὴν ἀγορὰν C.
3. ἰδίᾳ Epitome. Libri ἰδίας.
5. προτροπή] παρατροπή B.C.
— Ἰσοκράτης] p. 3 a.
8. ὑπὲρ] περὶ C.
9. ὑμῶν om. B.C.
— μετ'] καὶ μετ' C.
10. τοῦτο om. B.C.
10. π. τῆς ἐμῆς] τῆς ἐμῆς π. N. τῆς ἡμῶν π. B.C.
11. Δημοσθένης] p. 97.
12. τριήρων] τριήρεων B.C.G.
13. λαβοῦσα om. B.C.
16. ὑπῆρχεν ex Epitome pro ὑπῆρχον.
17. Ἀρχεστρατίδου] ἀρχεστράτου A. ἀρχιστράτου Ald.
— ἥρωος] καὶ ἥρωος A.
18. ἐν] ἐν τῇ B. Ald.

Παράβυστον: οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ἕνδεκα· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. μνημονεύουσι δ' αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων.

Παραπεπτωκώς: ἀντὶ τοῦ ὑποπεπτωκὼς Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Παρακαταβολὴ καὶ παρακαταβάλλειν: οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν· καὶ τούτου ἐχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν ὅτι τὸ ε' μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας, περὶ δὲ τῶν κληρικῶν ἄλλοι τε πάλιν εἰρήκασι ῥήτορες καὶ Ὑπερείδης ἐν τῷ περὶ τοῦ Ἱππέως κλήρου δευτέρῳ. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησὶ "καὶ μετὰ ταῦτα προσκα-" "λεῖταί μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρα-" "καταβολάς."

1. ΠΑΡΑ'ΒΥΣΤΟΝ. οὕτως—οἱ ἕνδεκα. ἐκαλεῖτο δέ—ἧς μέμνηται καὶ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους (libri Suidæ plerique Προκλέους). λέγεσθαι—παραπληρωμάτων:— 11. περὶ κλήρων ἢ ἐπικλήρων] περὶ κλῆρον ἢ ἐπὶ κλῆρον Phot. 13. τούτου] τοῦτο D. στέρεσθαι] στρέφεσθαι Phot. 15. κατετίθετο· Δημοσθένης μέντοι—παρακαταβολάς:—

4. Ὀρεσταυτοκλείδῃ Maussacus. Libri ὀρεσταυτοκλεῖ, quod om. C.
5. Πατροκλέους Maussacus et fortasse C. π̄ρ̄οκλέους Ald. et sine lineola B. προκλέου A.
8. Δημοσθένης] 1127, 2.
11. τινῶν] πολλῶν C.
— κλήρων] κλῆρον C.
12. ἰδιώτας] τοὺς ἰδιώτας C.
14. ὅτι om. B.C.
15. περὶ—δημοσίων] περὶ ὧν N.
— πολλαχοῦ] ἀλλαχοῦ B.C.
17. οἰκίας] τῆς οἰκίας C.
— Ἀσωπόδωρον Maussacus. ἀσωπίδωρον A. Ald. ἀσυμπόδωρον B.C.
18. Addidi τοῦ. In A. et Ald. est τῆς.
— Ἱππέως] ἱππέων B.C. ἱππέας Ald.
19. Δημοσθένης] p. 978, 19.
20. καὶ] καὶ ὡς B.C.N.
— προσκαλεῖται] καλεῖται B.C.
21. με om. B.C. Ald.
— παρακαταβολὰς Blancardus. πολλὰς καταβολὰς A.B.C. Ald. κατα-

Παραβάλοιτο: ἀντὶ τοῦ παραπέμψαιτο Αἰσχίνης κατὰ Κτησιφῶντος.

Πάρεδρος: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολύ ἐστι τοὔνομα παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ "λαμβάνουσι δὲ καὶ παρέδρους ὅ "τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται· καὶ οὗ"τοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας "διδόασιν ἐπὰν παρεδρεύσωσιν."

Παρεῖαι ὄφεις: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. παρεῖαι ὀνομάζονταί τινες ὄφεις παρὰ τὸ παρειὰς μείζους ἔχειν, ὡς καὶ Κρατῖνος ἐν τῷ Τροφωνίῳ ὑποσημαίνει. ὁ δὲ Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου γράφει ταυτί "εἶναι δὲ τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι· "τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας, τῶν δὲ ὄφεων αὐτῶν "τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν, τοὺς δὲ παρείας αὐτοὺς τοὺς "ἔχεις κατεσθίειν."

1. ΠΑΡΑΚΑΤΑΒΑ'ΛΟΙΤΟ (παραβάλοιτο Phot. et Suidas) 3. ΠΑ'ΡΕΔΡΟΣ. Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ 6. ἑκατέρους Phot. et meliores Suidæ libri. 7. εὐθύνας διδόασιν, ἐπὰν παρεδρεύωσιν· ἔστι δὲ ἡ λέξις συνήθης οὐ τοῖς ῥήτορσι μόνον, ἀλλὰ καὶ τοῖς κωμικοῖς :— 9. ΠΑΡΕΙ'ΑΙ "ΟΦΕΙΣ. ὀνομάζονται τινὲς ὄφεις οὕτως, παρὰ τὸ παρειὰς μείζους ἔχειν· ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου φησὶν (φησὶν om. Phot. ἐν τῷ κατὰ Δημάδου φησὶν om. Suidæ codex A.) εἶναι δὲ τοὺς ῥήτορας ὁμοίως τοῖς ὄφεσι· τούς τε γὰρ ὄφεις— κατεσθίειν :—

βολὰς N. πολλὰς παρακαταβολὰς scripserat Maussacus.

1. ΠΑΡΑΒΑ'ΛΟΙΤΟ A. C. G. παραβάλλοιτο B. Ald.

— κατὰ] ἐν τῷ κατὰ B.C.

3. πολὺ] πολὺ δέ C.

4. καὶ ἐν] κἂν N.

— Ἀριστοτέλης] Comparanda cum his quæ Pollux tradidit 8, 92.

5. δὲ καὶ Epitome. Aberat καὶ.

6. ἑκάτερος] ἑκατέρους A.B. ἑκάτεροι N.

— βούληται] βούλονται A. βούληνται C. βούλονται N.

7. παρεδρεύειν] παρεδρεύσωσιν N.

— καὶ] εἶτα N.

8. διδόασιν, ἐπὰν παρεδρεύωσιν] διδοῦσιν ἐπεὶ παρεδρεύουσιν B.C.

8. παρεδρεύσωσιν Bekkerus. Legebatur παρεδρεύωσιν.

9. ΠΑΡΕΙ'ΑΙ "ΟΦΕΙΣ] παρείας ὄφις N.

— Δημοσθένης] p. 313, 25.

— ὑπὲρ] ἐν τῷ ὑπὲρ B.C.

10. καὶ om. B.

11. Ὑπερείδης] Lycurgum ἐν τῷ κατὰ Δημάδου λόγῳ nominat schol. Aristoph. Pl. 690, ut aut alteruter grammaticorum in nomine oratoris errasse aut uterque orator hac imagine usus esse videatur, ut monet Sauppius Fragm. p. 262.

— Δημάδου] δημάρχου B.C.

12. ὁμοίους] ὁμοίως A.B.

— ὄφεσι] ὄφισι A.

Παρρησίας: ἀντὶ τοῦ βλασφημίας καὶ λοιδορίας Ἰσοκράτης Βουσίριδι [καὶ περὶ τοῦ ζεύγους].

Παρακρούεται: ἀντὶ τοῦ ἐξαπατᾷ. πολὺ δ' ἐστὶ παρά τε τοῖς ἄλλοις Ἀττικοῖς καὶ παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. μέτηκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι ἢ μετροῦντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν, καὶ ὡς Σοφοκλῆς που

ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βάλῃς.

Παρασκήνια: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἔοικε παρασκήνια καλεῖσθαι, ὡς καὶ Θεόφραστος ἐν κ' Νόμων ὑποσημαίνει, ὁ παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους οὕτω φησὶ καλεῖσθαι.

Παράσημος ῥήτωρ: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινὶ ὃ τὴν φαυλότητα δηλοῖ, ἢ ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται. ὅτι γὰρ ἐπὶ νομισμάτων λέγεται τὸ παράσημον δεδήλωκεν ὁ ῥήτωρ ἐν τῷ κατὰ Τιμοκράτους.

Παράστασις: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Πύρρου κλήρου. τοὔνομα παρὰ πολλοῖς ἐστὶν Ἀττικοῖς, ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας· Μένανδρος Μισογύνῃ

2. Βουσίριδι:— 3. πολὺ—Φιλιππικοῖς om. 5. ἀπὸ τῶν ἱστάντων—μετρούντων D. 6. πλεονεκτεῖν:— 8. ΠΑΡΑΣΚΗ'ΝΙΑ. ἔοικε παρασκήνια καλεῖσθαι ὁ παρὰ τὴν σκηνὴν—οὕτως φησὶ καλεῖσθαι:— 14. ἤτοι ὅτι ὑποχαράττεται] οἱ τοιοῦτοι χαράττεται Phot. 16. ἢ om. παρακεχάρακται:— 19. ΠΑΡΑ'ΣΤΑΣΙΣ. τοὔνομα πολὺ παρὰ τοῖς ῥήτορσιν· ἔστι δὲ

1. 2. om. C.

1. Ἰσοκράτης] p. 229 b.

2. καὶ περὶ τοῦ ζεύγους ex cod. Morelli addidit Maussacus et est fortasse in C. Omittunt ceteri.

4. Δημοσθένει] p. 19, 18.

— ἐν τοῖς om. C. τοῖς om. B.

6. Σοφοκλῆς] Fragm. 926.

7. ὑπὲρ χεῖλος Salmasius et Hemsterh. in fine Auctarii Annot. ad Hesychium. Libri ὑπὸ χεῖρα, nisi quod ὑπὸ χειρὸς A.N.P. Hesychius ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βαλεῖν (corr. βάλῃς)· παροιμία ἐπὶ τοῦ συμμέτρου τασσομένη. Χεῖλος est labrum, sive summa mensuræ et cujuslibet vasis ora.

7. βάλῃς] βάλλῃς B.C.

8. Δημοσθένης] p. 520, 18.

9. Θεόφραστος] ὁ θεόφραστος A.

— κ'] εἰκοστῷ Ald. α^{η} C. η' B.

10. παρὰ (περὶ Ald.) τὴν σκηνὴν] περὶ τὴν σκευὴν A.

13. Δημοσθένης] p. 307, 26.

14. ἀπὸ om. Ald., ἤτοι om. N.

18. Τιμοκράτους] Legebatur Ἀριστοκράτους (cui λόγῳ addit C.) Est p. 766, 6.

19. Ἰσαῖος] p. 42, 31.

21. δικαζομένων] δικαζόντων B.

ἕλκει δὲ γραμματείδιον
ἐκεῖσε δίθυρον καὶ παράστασις μία
δραχμή.

Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων φησὶν οὕτως "εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται, "ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ "ψευδεγγραφῆς καὶ ψευδοκλητίας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ "μοιχείας." Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ νομοθεσίας τοὺς διαιτητάς φησι λαμβάνειν τὰς δραχμὰς μίαν μὲν ἀπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν, ἑτέραν δὲ καθ' ὑπωμοσίαν ἑκάστην.

Παραφρυκτωρεῖν: Δείναρχος ἐν τῇ κατὰ Δεινίου ἐνδείξει. τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, οὕτως ἔλεγον, ὡς αὐτὸς ὁ ῥήτωρ ἐν τῷ λόγῳ αὐτὸ ἐξηγήσατο.

1. γραμματίδιον 4. περὶ τῶν θεσμοθετῶν λέγων φησίν· εἰσὶ δὲ— 6. ἀποφύγῃ (ἀποφύγοι Phot.) 7. ψευδοκλητίας] ψευδοκλησίας libri Suidæ deteriores. καὶ ...φίου (sic etiam Photii codex. καὶ γραφίου Suidas. καὶ ἀργυρίου D.) 9. λαμβάνειν] λαχεῖν Suidas. ἀπὸ] ὑπὸ Suidas. 10. καθ' ὑπωμοσίαν] κατὰ (κατὰ om. D.) ὑπωμοσίου (sic etiam Phot. Apud Suidam nunc καθ' ὑπωμοσίαν. Sed ed. Mediol. κατὰ ὑπωμοσίου, quod fortasse etiam in codicibus est.) 11. ΠΑΡΑΦΡΥΚΤΩΡΕΙΓΝ. τὸ τοῖς φρυκτοῖς 13. πολεμίων, ἐπὶ (ἐπὶ om. Phot.) βλάβῃ δὲ τῶν φιλίων, ὡς καὶ Δείναρχος ἐν οἰκείῳ λόγῳ (λόγων Phot. et Suidas) ἐχρήσατο:—

1. γραμματείδιον N. γραμματίδιον C. Ald. γραμματεῖον A. γραμμάτιον B. "De γραμματειδίῳ διθύρῳ, quo significatur *duarum plagularum liber judicialis*, πινάκιον δικαστικόν, vid. "Hemsterh. ad Polluc. vol. 2. p. "1215. et Observat. Miscell. vol. "5. 1. p. 18." MEINEK. Com. vol. 4. p. 167.

4. Ἀριστοτέλης] De loco Aristotelis diximus s. v. δωροξενία.

— ἐν] ἐν τῇ B.C.

— περὶ om. B.

— τῶν et λέγων addidi ex Epitome.

6. τις om. C.

7. ψευδεγγραφῆς] ψευδογραφῆς B.C. Ald.

— ἀγραφίου Jungermannus ad Polluc. 8, 88. Libri ἀργυρίου, quod pravum est lacunæ supplementum, ut Epitomes scriptura ...φίου (γραφίου Suidas) ostendit.

9. τὰς] δύο Portus.

11. ἐν τῇ Maussacus. Libri ἐν τῷ.

12. χρῆσθαι] κεχρῆσθαι A. Ald.

— ἐπὶ σ.] ἐπὶ τῷ σ. C.

13. ἐπὶ ante βλάβῃ om. B.C.

— αὐτὸς ὁ ῥήτωρ] Legebatur ὁ αὐτὸς ῥήτωρ.

14. αὐτὸ A. αὐτῷ Ald. αὐτοῦ B. C. Id vel αὐτοῦ legisse videtur Epitomator, qui ἐν οἰκείῳ λόγῳ scripsit. Sed fortasse delendum pronomen est.

— ἐξηγήσατο] Verbis ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, quæ Dinarchi esse recte conjicit Sauppius Fragm. p. 330.

Παρεγγύησεν καὶ παρεγγυηθέντος: Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἐπιτροπῆς ἀπολογίᾳ φησὶ "τὸ μὲν παρὼν, τὸ δὲ παρ' ἑτέρων "μεταλαβεῖν παρεγγύησεν," ἀντὶ τοῦ παρέδωκεν ἐντειλάμενος ἑκατέρῳ, τῷ μὲν λαβεῖν, τῷ δὲ δοῦναι. καὶ πάλιν φησὶ "τὰ μὲν ἐμοῦ "διαλύσαντος, β' τάλαντα καὶ λ' μνᾶς, τὰ δὲ τοῦ γεωργοῦ παρεγ"γυηθέντος" ἀντὶ τοῦ παραλαβόντος.

Παρελθεῖν: ἀντὶ τοῦ νικῆσαι Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Παρουσία: ἀντὶ τοῦ περιουσία ἢ αἰτία πλούτου οὐσία· Δημοσθένης ἐν τῷ περὶ συντάξεως καὶ Δείναρχος ἐν τῷ ὑπὲρ τῆς νεώς. καὶ Κράτης Θηρίοις

ἔχοντες εὐπαθῆ βίον
παρουσίαν τε χρημάτων.

Παρράσιος: Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. ὅτι μὲν

1. ΠΑΡΕΓΓΥ'ΗΣΕΝ καὶ ΠΑΡΕΓΓΥΗΘΕ'ΝΤΟΣ. παρεγγύησεν μὲν ἀντὶ τοῦ παρέδωκεν Ἰσαῖος· καὶ παρεγγυηθέντος δὲ ἀντὶ τοῦ παραλαβόντος ὁ αὐτός:— 7. Δ.] Δ. ἐν τῷ (ἐν τῇ τοῦ Phot.) 8. ΠΑΡΟΥΣΙ'Α. ἀντὶ τοῦ περιουσία, ἤτοι ἡ αἰτία τοῦ πλούτου (ἡ addit Phot.) οὐσία· Δημοσθένης ἐν τῷ περὶ συντάξεως καὶ Κράτης· Ἔχοντες εὐπαθῆ βίον, παρουσίαν (περὶ οὐσίαν D.) τε χρημάτων:— 13. ΠΑΡΑ'ΣΙΟΣ. ὅτι μὲν ζωγράφος οὗτος δῆλον· φασὶ δὲ αὐτὸν υἱὸν εἶναι καὶ μαθητὴν Εὐήνορος, Ἐφέσιον δὲ τὸ γένος:—

1. et 3. ΠΑΡΕΓΓΥ'ΗΣΕΝ Harpocratio ipse sine augmento scripsisse videtur. Sed debebat παρηγγύησεν scribere, quod Bekkerus posuit. De re conf. Schœmann. de lite Att. p. 521.

1. ΠΑΡΕΓΓΥΗΘΕ'ΝΤΟΣ ex Epitome pro παρεγγυηθέντας. παρεγγυηθέντες B.C.

— ἐν τῇ] ἐν τῷ A.B.

2. τὸ μὲν—μεταλαβεῖν om. C.

— παρὼν Sauppius Fragm. p. 233. Libri παρόν. "Numeravit "partem pecuniæ ipse præsens, re"liqua ut ab aliis numerarentur "perscriptionem dedit." SAUPP.

— τὸ δὲ] τόδε B. Ald.

3. μεταλαβεῖν] λαβεῖν B.G.

4. δοῦναι] διδόναι C G.

5. διαλύσαντος N. Ceteri διαλύσαντας.

— γεωργοῦ] γεωργίου N.

— παρεγγυηθέντος—παραλαβόντος] παρεγγυηθέντες—παραλαβόντες B.C.

7. νικῆσαι — παρουσία ἀντὶ τοῦ om. C.

— Δημοσθένης (διογένης B.)] p. 227, 20.

8. ἢ] ἡ B.C. Ald.

— Δημοσθένης] p. 166, 11. ὡς ἑκάτερος χρείας καὶ περιουσίας ἔχουσιν. ubi codex Paris. S. primo habuit περουσίας, Harpocratio autem παρουσίας legisse videtur, ut monuit Schæferus, collatis Platonis comici verbis (ap. Phot. et Suidam s. v. παρουσία), ὡς καὶ νῦν ἔχομεν παρουσίας.

9. ὑπὲρ] περὶ C.

10. καὶ Κράτης ex Epitome additum.

— Θηρίοις] θηρία B.C.

11. βίον] βίου C.

12. παρουσίαν] παρουσία B.C.

13. Ἰσοκράτης] p. 310 b.

ζωγράφος Παρράσιος παντὶ δῆλον· Ἰόβας δὲ ἐν η΄ περὶ ζωγράφων διεξέρχεται τὰ περὶ τὸν ἄνδρα, φησὶ δ' αὐτὸν εἶναι υἱὸν καὶ μαθητὴν Εὐήνορος, Ἐφέσιον δὲ τὸ γένος.

ΠΑΣΙ͂ΝΟΣ: Ἰσοκράτης Αἰγινητικῷ. ὄνομα κύριον.

ΠΑΣΊΩΝ: ὄνομα κύριον, τραπεζίτης.

ΠΑΤΑΙΚΊΩΝ: ὄνομα κύριον, κλέπτης καὶ τοιχωρύχος.

ΠΕΔΙΑΚΆ: Λυσίας ἐν τῷ κατὰ Φιλίππου ἐπιτροπῆς, εἰ γνήσιος ὁ λόγος. ἔστι μοῖρα τῆς Ἀττικῆς, ἡ ἀπὸ τοῦ συμβεβηκότος ἐκαλεῖτο Πεδίον· εἶχε δὲ καὶ προβάτων νομὰς, καὶ τὰ ἐντεῦθεν, ὡς ἔοικεν, ἐκαλεῖτο Πεδιακά. ἔστι δὲ καὶ παρ' ἄλλοις ῥήτορσι τοὔνομα.

ΠΕΔΆΡΙΤΟΣ: Ἰσοκράτης ἐν τῷ Ἀρχιδάμῳ. τῶν ἐκ Λακεδαίμονος ἐκπεμφθέντων ἐστὶν οὗτος, ἁρμοστὴς ἀνὴρ, τῶν γεγονότων καλῶν, ὡς φησι Θεόπομπος ἐν β΄ Ἑλληνικῶν.

4. ΠΑΣΙ'ΝΟΣ (Πασῖνος Phot. et Suidas). ὄνομα κύριον :— 5. ΠΑΣΙ'ΩΝ· ὄνομα τραπεζίτου :— 6. ΠΑΤΑΙΚΙ'ΩΝ (Πατταικίων Suidas. Πατηκίων Phot.). ὄνομα κλέπτου καὶ τοιχωρύχου :— 7. ΠΕΔΙΑΚΑ' (πεδικά Phot. et Suidas). μοῖρα τῆς Ἀττικῆς· ἐκαλεῖτο δὲ οὕτως ἀπὸ τοῦ συμβεβηκότος· εἶχεν δὲ (δὲ om. Phot. εἶχε—ῥήτορσιν om. Suidæ codex A.) καὶ προβάτων νομάς· ἔστι τὸ ὄνομα παρά τε Λυσίᾳ καὶ παρ' ἄλλοις ῥήτορσιν :— 11. ΠΑΙΔΑ'ΡΙΤΟΣ. τῶν ἐκ—ἀνὴρ εἷς τῶν—καλῶν :—

1. παντὶ] πάντη A. Ald.
— Ἰόβας] ἰόκας A. Ald. ἴωκας B.
3. Εὐήνορος] Sic etiam Pausan. 1, 28, 2.
4. ΠΑΣΙ'ΝΟΣ ex Epitome pro Πασίνους. Apud Isocratem p. 387 d., ubi vulgo πᾶσιν οὗς, ex cod. Urbinate Πασῖνος restitutum, ut ex Suida correxerat Meursius Lect. Att. 2, 10. Neutra nominis forma aliunde cognita.
5. 6. om. C.
5. ΠΑΣΙ'ΩΝ] Apud Demosthenem locis plurimis.
— ὄνομα κύριον] ὁ A.B.
— τραπεζίτης] τραπεζίτου Ald.
6. ΠΑΤΑΙΚΙ'ΩΝ] Apud Æschinem p. 81, 9. πατταικίων A.
— κύριον om. A.B.
8. ὁ λόγος. ἔστι μοῖρα—] Legebatur ὁ λόγος ἐστί. μοῖρα— In aliis locis, ubi vulgo simpliciter, εἰ γνήσιος, codex A. interdum addit ὁ λόγος, vel ὁ λόγος ἐστίν (s. v. ὑπόλογον). Idem hic ἐστὶν vulgo post Ἀττικῆς lectum omittit. His indiciis ἐστί, vulgo cum ὁ λόγος conjunctum, mutata interpunctione ad sequentia rettuli, etsi in plena locutione εἰ γνήσιος ὁ λόγος ἐστί, qua Harpocratio utitur s. v. προθεσμίας νόμος, et ὑπερήμεροι, per se nihil reprehendendum.
— ἡ addidi cum Toupio.
9. καὶ τὰ] καὶ διὰ τὰ B.
10. ἔστι] ἔτι C.
— δὲ om. A. Ald.
11. ΠΕΔΑ'ΡΙΤΟΣ] Sic legitur apud Isocratem p. 127 a. Epitome Παιδάριτος contra seriem literarum. Veram nominis formam Παιδάρητος esse judicat Valcken. ad Theocriti Adoniaz. p. 261.: de quo v. Thesaur. vol. 6. p. 643.
— Ἀρχιδάμῳ] περὶ ἀρχιδάμου B. C.

Πεζέταιροι: Δημοσθένης Φιλιππικοῖς. ˈΑναξιμένης ἐν α΄ Φιλιππικῶν περὶ ˈΑλεξάνδρου λέγων φησὶν "ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας ἑταίρους προσηγόρευσε, τοὺς δὲ πλείστους καὶ τοὺς πεζοὺς εἰς λόχους καὶ δεκάδας καὶ τὰς ἄλλας ἀρχὰς διελὼν πεζεταίρους ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρίας προθυμότατοι διατελῶσιν ὄντες."

Πέλανος: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολλάκις ἐστὶ τοὔνομα παρὰ πολλοῖς τῶν ἀρχαίων. ˈΑπολλώνιος δ' ὁ ˈΑχαρνεὺς ἐν τῷ περὶ τῶν ἑορτῶν οὕτω γράφει "ὁμοίως δὲ καὶ ὁ προσαγορευόμενος πέλανος. λέγεται δὲ πέμματά τινα τοῖς θεοῖς γινόμενα ἐκ τοῦ ἀφαιρεθέντος σίτου ἐκ τῆς ἅλω." Σαννυρίων δ' ἐν Γέλωτί φησι

πέλανον * * * * *
ἃ καλεῖτε σεμνῶς ἄλφιθ' ὑμεῖς οἱ βροτοί.

Δίδυμος δὲ κυρίως φησὶ τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται

1. ΠΕΖΕ'ΤΑΙΡΟΙ (πεζαίτεροι Suidas). Δημοσθένης ἐν Φιλιππικοῖς· Ἀναξιμένης δὲ ἐν α΄ Φιλιππικῶν περὶ Ἀλεξάνδρου λέγων φησίν· ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας (ἐθίσας D.) ἑτέρους (ἑταίρους Phot. et Suidas) προσηγόρευσεν,—διελὼν, πεζετέρους (παιζετέρους D., with ε and αι written above. πεζεταίρους Phot. πεζαιτέρους Suidas) ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρίας προθυμώτατα (προθυμότατα Phot. Inter has duas scripturas et προθυμότατοι, quod est in D., variant libri Suidæ.) διατελῶσιν ὄντες:— 7. ΠΕΛΑΝΟ'Σ (πέλανος Suidas). γίνεται πέμματά τινα τοῖς θεοῖς ἐκ τοῦ ἀφαιρεθέντος ἤτοι ἐκ τῆς ἅλω. 11. Σαννυρίων—βροτοί om. 14. Δίδυμος δέ φησι κυρίως εἶναι πέλανον (πελανὸν Phot.) τὸ ἐκ τῆς πετάλης (πάλης D. παιπάλης Suidas) πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα· ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι· ἢ ὅτι λευκόν ἐστιν, ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐστι λευκόν· Εὐριπίδης—φησίν· εὐδομοξεν (εὖ δ' ὅμορξεν Phot. ἐκ δ' ὅρμοξον D. ἐκ δ' ὅμορξον Suidas) ἀθλίου στόματος

1. ΠΕΖΕ'ΤΑΙΡΟΙ Epitome. πεζαίτεροι B.C. πεζαίτερος A.D. Ald.
— Δημοσθένης] p. 23, 2.
— ἐν α΄] ἐν πρώτῳ Ald. ἐν α^{η} C.
3. ἱππεύειν] ἱππεῦσι B.C.
4. εἰς] ἐς A.
5. διελὼν] διελθὼν B.
— πεζεταίρους] πεζαιτέρους A.C. Ald.
6. ἑταιρίας] ἑταιρείας B.
7. ἐστὶ τ.] τ. ἐστὶ B.
8. Ἀπολλώνιος ὁ Ἀχαρνεύς] Hunc scriptorem memorant Harpocratio infra s. v. Πυανόψια et Χαλκεῖα et schol. Aristoph. Nub. 407.
11. ἐκ τῆς—ὅ ἐστι λευκόν om. C.
11. Σαννυρίων addidit Maussacus. In libris est lacuna.
— φησι om. B.
12. πέλανον —] Lacunam post πέλανον, quam libri relicto spatio vacuo indicant, Casaubonus Animadv. in Athen. p. 321. explevit insertis verbis καλοῦμεν ἡμεῖς οἱ θεοί.
13. καλεῖτε (καλεῖται A.B.) σεμνῶς] καλεῖτ' ἀσέμνως conjici posse monet Meinek. Com. vol. 2. p. 873. lenius quam καλεῖτε γυμνῶς, quod proposuerat Lobeck. Aglaoph. p. 868.
14. παιπάλης Maussacus. Libri πάλης.

πέμματα, ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ὅτι λευκά ἐστιν· Ὅμηρος

ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας.

ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐστι λευκόν. Εὐριπίδης μέντοι ἐν τῷ Ὀρέστῃ ἰδίως φησὶν

ἐκ δ' ὄμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον.

ὅπερ τὸν ἐπὶ τοῦ στόματος ἀφρὸν δηλοῖ.

Πεντακοσιομέδιμνον: *Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. ὅτι δ' τέλη ἐποίησεν Ἀθηναίων ἁπάντων Σόλων, ὧν ἦσαν καὶ οἱ πεντακοσιομέδιμνοι, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.*

Πεπάρηθος: *Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντός φησι "καὶ "τὴν Πεπαρήθου πόρθησιν." νῆσός ἐστιν αὕτη οὐκ ἄποθεν Εὐβοίας.*

Πείσων: *Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους. εἷς τῶν λ' τῶν παρ' Ἀθηναίοις τυραννησάντων.*

Πενέσται: *Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Πενέσται παρὰ Θετταλοῖς καλοῦνται οἵπερ παρὰ Λακεδαιμονίοις Εἵλωτες· Ξενοφῶν γοῦν ἐν γ' Ἑλληνικῶν φησιν ἐπί τινος "καὶ τοὺς Πενέστας "ὥπλισεν ἐπὶ τοὺς δεσπότας." διείλεκται δὲ περὶ αὐτῶν ἐπὶ πλέον Στάφυλος ἐν τῇ γ' περὶ Θετταλῶν. οὐ μόνον δὲ αὐτοὺς Πενέστας καλεῖσθαί φησιν, ἀλλὰ καὶ Θετταλίκτας.*

ἀφρώδη πέλανον (πελανὸν D. et Phot.), *ὅπερ τὸν ἀπὸ (ἐπὶ* Phot. et Suidas) *τοῦ στόματος ἀφρὸν δηλοῖ* :— (*ὅπερ—δηλοῖ* om. D.)
8. ΠΕΝΤΑΚΟΣΙΟΜΕ'ΔΙΜΝΟΝ] *πεντακόσιον ἔδιμνον* E.T. *Λυσίας—ὅτι* om. 9. *πάντων ὁ Σόλων, ὧν ἦν ἐν τέλος καὶ οἱ* (*οἱ* om. D.) *π.* (*πεντακόσιοι μέδιμνοι* E.T.) :— 12. ΠΕΠΑ'ΡΗΘΟΣ (*–ιθος* E.T.). *νῆσος οὐκ ἄποθεν Εὐβοίας* :— 14. ΠΕΙ'ΣΩΝ. *εἷς τῶν παρὰ Ἀθηναίοις τριάκοντα τ.* :— 16. ΠΕΝΕ'ΣΤΑΙ. *Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους· Πενέσται δὲ παρὰ Θετταλοῖς καλοῦνται οἱ παρὰ Λακεδαιμονίοις Εἵλωτες· οὐ μόνον δὲ αὐτοὺς Πενέστας καλεῖσθαί φησιν, ἀλλὰ καὶ Θετταλικάς* :— *πενεσταὶ* et *πενεστὰς* E.T.

1. *ἢ ὅτι* ex Epitome pro *ἢ ὅτι καὶ.*
2. *Ὅμηρος*] Il. 10, 7.
3. *ὅτε πέρ τε*] *ὅτ' ἐπέρχεται* A.
4. *Ὀρέστῃ*] v. 219.
8. ΠΕΝΤΑΚΟΣΙΟΜΕ'ΔΙΜΝΟΝ] *πεντακοσιομέδιμνοι* A. Ald.
9. *δ'*] *τέτταρα* C. *τέσσαρα* Ald.
10. *ἐν*] *ἐν τῇ* B.C.
12. *Δημοσθένης*] p. 248, 5.
13. *Εὐβοίας*] *τῆς εὐβοίας* C.
14. *Λυσίας*] p. 120, 34.
— *τῶν* post *λ'* additum ex C.
16. *Δημοσθένης*] p. 687, 2.
18. *ἐν γ'* (*γ*η C. *τρίτῃ* Ald.)] Immo 2, 3, 36.
19. *ἐπὶ πλέον Στ.*] *στ. ἐπὶ πλέον* C.
20. *γ'*] *δ̄* A.
21. *Θετταλίκτας*] Legebatur *θετταλικέτας*, quod in *θετταλοικέτας* de-

Πεντηκόνταρχος: ὁ τῆς πεντηκοντόρου ἄρχων, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. ὅτι δὲ πεντηκόντορος ἐκαλεῖτο ἡ ναῦς ἡ ὑπὸ ν′ ἐρεσσομένη πρόδηλον.

Πεντηκοστή καὶ πεντηκοστεύεσθαι καὶ πεντηκοστολόγοι: πεντηκοστὴ μὲν τέλος τι καὶ πεντηκοστολόγοι οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες, πεντηκοστεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δ' ἔστιν εὑρεῖν ἔν τε τῷ κατὰ Μειδίου καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένους, καὶ Ὑπερείδου ἐν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν.

Πέπλος: Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων· περὶ τοῦ πέπλου τοῦ ἀναγομένου τῇ Ἀθηνᾷ τοῖς μεγάλοις Παναθηναίοις οὐ μόνον παρὰ τοῖς ῥήτορσίν ἐστι μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς.

Περγασῆθεν: Ἰσαῖος ἐν τῷ κατὰ Θουτίμου. Περγασὴ δῆμος

1. ΠΕΝΤΗΚΌΝΤΑΡΧΟΣ. ὁ τῆς πεντηκοντόρου ἄρχων· ἐκαλεῖτο δὲ πεντηκόντορος ἡ ὑπὸ πεντήκοντα ἐρεσσομένη ναῦς :— 4. ΠΕΝΤΗΚΟΣΤΗ' καὶ ΠΕΝΤΗΚΟΝΤΕΥ'ΕΣΘΑΙ καὶ ΠΕΝΤΗΚΟΣΤΟΛΟ'ΓΟΙ. πεντηκοστὴ μὲν τὸ τέλος ὃ τελοῦσι· πεντηκοστολόγοι δὲ οἱ τοῦτο (δὲ οἱ τὸ Phot., qui verba πεντηκοστολόγοι —ἐκλέγοντες infra habet ante ταῦτα δέ) ἐκλέγοντες. πεντηκοστεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δὲ ἔστιν εὑρεῖν ἐν τῷ κατὰ Μειδίου (μηδίου E.T.) καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένης· καὶ Ὑπερίδης ἐν τῷ περὶ (τῶ ὑπὲρ Phot.) τῶν Εὐβούλου δωρεῶν :— 10. Ἰσαῖος—ῥηθέντων om. 12. ἐστι μνήμη] ἐστιν ἡ μνήμη 13. ΠΕΡΓΑΣΗ'ΘΕΝ. δῆμος ἡ Περγάση (Περγασὴ Suidas) τῆς Ἐρεχθηΐδος (φυλῆς addit Phot.)

pravatum in B. ut ap. Athen. 6. p. 264 a. Sed θετταλικάς Epitome, quod proxime abest ab vera scriptura, quam Bernhardyus restituit ad Suidam vol. 2. p. 176.

1. ΠΕΝΤΗΚΌΝΤΑΡΧΟΣ] De hoc vocabulo parum accurate egit Harpocratio. Nam neque de πεντηκοντόρῳ sermo est apud Demosthenem p. 1212, 5. 20. 1214, 12. 1215, 1., sed de triremi, nec πεντηκόνταρχος est ὁ τῆς πεντηκοντόρου ἄρχων, sed is qui in triremi quinquaginta præest remigibus sub trierarcho (trierarchi subcenturio, ut interpretatur Reiskius in Indice in Demosthenem): de quo dixit Boeckh. Œc. vol. 3. p. 120.

— ΠΕΝΤΗΚΌΝΤΑΡΧΟΣ — ὅτι] πεντηκόντορος ναῦς ἐν τῷ περὶ τριηραρχήματος (τριηραρχήματος etiam B.) δηλοῖ δημοσθένης. ὁ τῆς πεντηκοντόρου ἄρχων. ὅτι C.

1. ΠΕΝΤΗΚΌΝΤΑΡΧΟΣ] ναῦς addit B.

5. τι] ἐστὶ C.

6. δὲ τὸ Epitome. δέ ἐστι τὸ A. δὲ ἀντὶ τοῦ B.C. Ald.

7. ἔστιν post εὑρεῖν C.

— ἔν τε] καὶ ἐν B. τε om. C.

— κατὰ Μειδίου] p. 568, 12.

8. Δημοσθένους (δημοσθένης A.)] p. 932, 27.

— καὶ om. A.

— Ὑπερείδου] ὑπερίδης C.

10. Ἰσαῖος ἐν τῷ om. B.C.

11. ἀναγομένου] ἐναγομένου B.

13. ΠΕΡΓΑΣΗ'ΘΕΝ — Θουτίμου om. C.

— Θουτίμου] θεοτίμου B. Ald.

— Περγασὴ] περγάση B. Ald.

τῆς †Ἐρεχθηΐδος· τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασέα τε καὶ Περγασῆθεν.

Περίανδρος: ὄνομα κύριον.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς: Δημοσθένης Φιλιππικοῖς. Δίδυμός φησι τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος λέγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς, λέγεσθαι δ' αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις.

Περιθοΐδαι: Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα. δῆμός ἐστι τῆς Οἰνηΐδος.

Περίλαος: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ ὄνομα κύριον.

Περίοδος: Δημοσθένης Φιλιππικοῖς φησὶν "ἐπεὶ ὅτι γε ὥσπερ "περίοδος ἢ καταβολὴ πυρετοῦ." περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα καὶ αὖθις ἐπιτεινόμενα, οἷον τριταίους καὶ τεταρταίους· καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲν νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι.

Περιοίκιον: †Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην "καὶ τὸ περιοίκιον "καὶ τὴν οἰκίαν." μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον.

Περίπολος: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. †Ἀριστοτέλης ἐν †Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων φησὶν οὕτως

3. om. 4. Φιλιππικοῖς] ἐν Φιλιππικοῖς Phot. 8. Δ.—Πολυκλέα et ἐστι om. 9. Οἰνηΐδος] οἰνιΐδος E.T. ut alibi ἐρεχθιΐδος. Οἰνηΐδος φυλῆς Phot. et Suidas in initio alius glossæ. 10. ΠΕΡΙΛΛΟΣ (Περίλλος Suidas). Δ. ἐν τῷ ὑπὲρ Κτ. ὄνομα κύριον:— 12. ΠΕΡΙΟΔΟΣ. Δημοσθένης Φιλιππικοῖς (ἐν φ. D.). περιοδικὰ νοσήματα 13. ἐπιγιγνόμενα (ἐπιγινόμενα Phot. et Suidas), οἷον τριταίους, τεταρταίους καὶ τὰ ὅμοια· καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲ νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι:— 18. ΠΕΡΙΠΟΛΟΣ. Ἀριστοτέλης ἐν τῇ Ἀ.—λέγων οὕτως φησὶν

1. φασι] φησι A. Ald.

3. Hanc gl. et quattuor proximas om. C.

— ΠΕΡΙΑΝΔΡΟΣ] Duos hoc nomine viros memoravit Demosthenes, alterum p. 1009, 26., alterum p. 1145, 16.

— Δημοσθένης (p. 63. extr.)—σκιᾶς om. A.

8. ΠΕΡΙΘΟΙΔΑΙ] περιθοῖ B.

— Δημοσθένης] p. 1219. ubi Μνησίλοχος ὁ Περιθοΐδης.

9. ΠΕΡΙΛΑΟΣ] Legebatur Περίλλος, quod saltem Πέριλλος scribendum foret cum Epitome. Restitui Περίλαος ex Demosthene p. 242, 2. 324, 15. 435. extr.

11. Δημοσθένης] p. 118. 20.

12. ἢ] ἡ A.B. Ald.

— πυρετοῦ] τοῦ πυρετοῦ N.

13. ἐπιτεινόμενα Dobræus Advers. 1. p. 588. Libri ἐπιγινόμενα.

14. τούτων] τούτοις B.

15. τῶν om. B.

18. Αἰσχίνης] p. 50, 32.

— πρεσβείας] παραπρεσβείας Ald.

19. ἐν Ἀ.] ἐν τῇ ἀ. C.

— οὕτως] ὅπως C.G.

" τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδεξά- " μενοι τῷ δήμῳ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ " παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς " φυλακτηρίοις." παρατηρητέον οὖν ὅτι ὁ μὲν ⁴Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίγνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο· καὶ τάχα διὰ τοῦτο ἐπεμνήσθη τοῦ πράγματος ὁ ῥήτωρ, καίπερ πάντων τῶν ἐφήβων ἐξ ἀνάγκης περιπολούντων, ὅτι αὐτὸς δύο ἔτη γέγονεν ἐν τοῖς περιπόλοις· διὸ καὶ μαρτυρῶν ἐδήλωσεν αὐτό.

Περίστατοι: ⁴Ἰσοκράτης περὶ τῆς ἀντιδόσεως " θαυματοποιίαις " ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γινομέ- " ναις" ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι. τὸ ὄνομα καὶ ἐν ⁴Ἀρχιδάμῳ ἐστὶ καὶ παρ' Εὐπόλιδι ἐν Κόλαξιν.

Περίστασιν: Δείναρχος Τυρρηνικῷ " μετὰ ταῦτα τοῦ Δάμωνος " ἤδη περὶ ἀναγωγὴν ὄντα με περίστασιν ποιησαμένου καὶ μαρτυρεῖν " ἀξιοῦντος" καὶ τὰ ἑξῆς. μήποτε τοιοῦτόν ἐστι τὸ λεγόμενον, ἐν

1. γινομένης λαβόντες ἀσπίδα 4. οὖν] δὲ 5. γίνεσθαι—δύο :— 10. Ἰσοκράτης ἐν τῷ περὶ 12. θεώμενοι :— 14. ΠΕΡΙ'ΣΤΑΣΙΝ. Δείναρχος Τυραννικῷ (τυρηνικῷ D. Τυρρηνικῷ Phot. et Suidas) 15. ὄντα με] ὄντος Phot. et Suidas ποιησαμένου] ποιήσουσιν οὗ

1. γενομένης] γινομένης C. Ald.

2. τῷ δήμῳ περὶ] παρὰ τοῦ δήμου Valesius. Quod parum probabile est, quum statim sequatur παρὰ τοῦ δήμου.

3. τοῖς om. C.

4. παρατηρητέον—δύο] Errat procul dubio grammaticus ex loco allato colligens Aristotelem putasse juvenes per unum tantum annum circuitorum munere functos esse. Verba τὸν δεύτερον ἐνιαυτὸν intellexerit annum secundum τῆς ἥβης, per eumque juvenes peripolos fuisse putaverit. Intelligenda autem verba sunt de concione quæ habebatur exeunte τῆς ἥβης biennio, quod excipiebat alterum biennium τῶν περιπόλων. MUELLER. Fragm. Hist. vol. 2. p. 112.

— οὖν] μὲν οὖν C.

— ὁ μὲν om. B.C.

4. ὅτι addidit Bekkerus.

5. ἐν addidit Jungerm. ad Polluc. 8, 105.

9. αὐτό] αὐτῷ A. Ald.

10. Hanc gl. om. C.

— Ἰσοκράτης] p. 486. §. 288. ed. Bekk. Oxon.

11. ταῖς om. B.

— δὲ om. A. Ald.

— γινομέναις] γινομένοις A.B. Ald.

12. καὶ ἐν] καὶ οἱ ἐν A.

13. Ἀρχιδάμῳ] p. 135 e.

14. Τυρρηνικῷ] τυρηνικῷ Ald. τυραννικῷ B.

15. περὶ ἀναγωγὴν] περιαγωγὴν B. C.

— ποιησαμένου Bekkerus. ποιήσουσιν οὗ A. Ald. ποιήσουσιν οἷς B. C.G. ποιήσαντος N.

16. μήποτε—] Explicatione grammaticis hoc egere visum est, quod Damo unus *circumstetisse* eum, qui

κύκλῳ περιέστη με αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον, ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ περίστατόν με ἐποίησαν. ἐν ἐνίοις δὲ ΠΑΡΆΣΤΑΣΙΝ γράφεται.

Περιστοιχίζεται: Δημοσθένης Φιλιππικοῖς φησι "μέλλοντας "ἡμᾶς καὶ καθημένους περιστοιχίζεται" ἐκ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους ἢ στόχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵν' ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία εἰς τὰ δίκτυα ἐμπέσῃ, ὡς ὑποσημαίνει Ξενοφῶν ἐν τῷ Κυνηγετικῷ. ἐν ἐνίοις μέντοι γράφεται ΠΕΡΙΣΤΟΙΧΊΖΕΤΑΙ, ἐν ἄλλοις δὲ καὶ ΠΕΡΙΣΧΟΙΝΊΖΕΤΑΙ.

Περίστοιχοι: Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον περὶ τῶν Ἀρεθουσίου ἀνδραπόδων "φυτευτήρια ἐλαῶν περιστοίχων κατέκλασεν." Δίδυμος δέ τι γένος ἐλαιῶν περιστοίχους καλεῖ, ἃς Φιλόχορος στοιχάδας προσηγόρευσε. μήποτε δὲ περιστοίχους κέκληκεν ὁ ῥήτωρ τὰς κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκυίας.

Πεφασμένης: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος ἀντὶ τοῦ

2. τῷ] τὸ 3. ἐν ἐνίοις δὲ παράστασιν ἀντὶ τοῦ περίστασιν γράφεται:— 4. ΠΕΡΙΣΤΟΙΧΙ'ΖΕΤΑΙ (περιστιχίζεται superscripto οι D.). Δ. ἐν Φ. μέλλοντας ἡμᾶς φησὶ καὶ κ. 8. εἰς τὰ δίκτυα ἐμπέσῃ· ἔνια μέντοι τῶν ἀντιγράφων περιστοιχίζεται ἔχει, ἄλλα δὲ περισχοινίζεται:— 11. ΠΕΡΙ'ΣΤΟΙΧΟΝ. Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον· φυτευτήρια ἐλαῶν περίστοιχον κατέκλασεν· Δίδυμος δέ τι γένος ἐλαῶν—μήποτε δὲ νῦν ὁ ῥήτωρ περιστοίχους κέκληκεν, τῶν κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότων:— 16. ΠΕΦΑΣΜΕ'ΝΩΣ (πεφασμένος D. Phot. et Suidas). ἀντὶ τοῦ γεγενημένος Λυκοῦργος· Λυσίας δὲ πεφασμένος

navem solvere vellet, dicebatur. SAUPP. Fragm. p. 330.

1. περιέστη με Epitome. περιέστη μὲν Ald. περιέσται μὲν B.C. περιέστηκεν A. (?) N.

2. ἠνάγκαζον Ald. ἢ ἀναγκάζειν B.C. ἠνέγκατὸν A.

— τῷ Blancardus. Libri τό.

— ἐποίησαν] ἐποίησεν A. B. N. ἐποίησε Ald. Pluralem restituit Maussacus, qui περίστατον μετεποίησαν scripsit.

3. ΠΑΡΑ'ΣΤΑΣΙΝ] παράστασις B.C.

— γράφεται A.B.C.G. ἀντὶ τοῦ περίστασιν γράφεται Ald.

4. Δημοσθένης] p. 43, 1.

— Φιλιππικοῖς ex Epitome pro Φιλιππικῷ.

6. ἱστᾶσιν] περιστᾶσιν C. περιιστᾶσιν B.G.

7. καλοῦσι — στόχους] καλοῦνται στοῖχοι ἢ στόχοι C.

— ἢ στόχους] ἤγουν στοίχους Ald.

— δίκτυα] τὰ δίκτυα C.

8. ἐκφύγῃ] ἐκφεύγῃ B.

9. τῷ om. C.

— Κυνηγετικῷ] c. 6, 5.

— μέντοι] μὲν B.C.

11. Δημοσθένης] p. 1251, 23.

12. ἐλαῶν C. ἐλαιῶν ceteri.

— κατέκλασεν] κατέκλασαν B.

13. Δίδυμος—καλεῖ om. A. Δίδυμος—ἃς om. B.C.

14. δὲ om. A. Ald. δὲ νῦν B.

— τὰς—πεφυκυίας N. Ceteri τῶν—πεφυκότων.

γεγενημένης. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, φησὶ "τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς."

Πεφοριῶσθαι: Λυσίας ἐν τῇ πρὸς Πολυκράτην κατ' Ἐμπέδου ἐπιστολῇ, εἰ γνήσιος, φησὶν "ἢ τὸν ὀφθαλμὸν τὸν ἕτερον γλαυκότε-"ρον εἶναι ἢ πεφοριῶσθαι" ἐπὶ τοῦ ἀποκεκλειμένου, ὥσπερ Εὐφορίων κέχρηται τῷ ὀνόματι· εἰσὶ γάρ τινες ὀφθαλμοὶ κατακεχαλασμένα ἔχοντες τὰ βλέφαρα καὶ οἱονεὶ μύοντες. ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης· ὅτι γὰρ καὶ ἐπ' ἀνθρώπων τάσσουσι τὴν φορίνην δῆλον ποιεῖ Ἀντιφῶν ἐν β' Ἀληθείας.

Πηγαί· Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος. Πηγαὶ τόπος ἐν Μεγάροις, ὡς ἐν δ' τῆς Ἀτθίδος φησὶν Ἑλλάνικος.

Πήληξ: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δῆμός ἐστι τῆς Λεοντίδος Πήληκες, ὥς φησι Διόδωρος ὁ περιηγητής.

(π. om. Phot.) ἀντὶ τοῦ φανερὸς (libri Suidæ partim sic, partim πεφασμένως—φανερῶς) λέγει :—

3. Λυσίας ἢ τὸν ὀφθαλμὸν (τῶν ὀφθαλμῶν D.) 5. ἀποκεκλειμένου (ἀποκεκλεισμένου D.). Εὐφορίων—εἰσὶ δέ τινες 6. κεχαλασμένα τὰ βλέφαρα ἔχοντες 7. ἐάν τε—φορίνης. τάσσουσι γὰρ ἐπὶ ἀνθρώπων τὴν φορίνην :— 10. ΠΗΓΑΙ'—γνήσιος om. 11. Μεγάροις (Μεγάροις καὶ Βυζαντίῳ Phot.):— 12. ἐν τῷ om. (Αἰσχίνης—Κτησιφῶντος om. Phot.) δῆμος τῆς (τῆς om. Phot.) Λεοντίδος :—

1. γεγενημένης] γεγενημένου B.
— Λυσίας] p. 117, 40.
— δ' om. C.
2. μὲν] δὲ C.
3. ΠΕΦΟΡΙΩ'ΣΘΑΙ] περιφωριάσθαι C. περιφοριῶσθαι G., literis πε pro compendio præpositionis περὶ, quod frequens in codicibus est, accepto: de quo dixit Bast. ad Greg. Cor. p. 928.
— Πολυκράτην] πολυκράτη A.
4. τὸν ὀφθαλμὸν] τῶν ὀφθαλμῶν C.G.N.
5. πεφοριῶσθαι] περιφωριῶσθαι C. G.
— ἀποκεκλειμένου ex Epitome pro ἀποκεκλιμένου (ἀποκεκλιμένον Ald.)
— Εὐφορίων Epitome. ἐνφορίῳ A. Ald. ἐνφορείῳ B.N. et, ut opinor, C.
7. βλέφαρα] ὄμματα C.
— ΠΕΦΟΡΙΝΩ'ΣΘΑΙ] Hæc unice vera est scriptura ab verbo φορινοῦσθαι, *corio obduci*, ut recte judicat Meinek. Anal. Alexandr. p. 149. Et sic aut scripserunt aut scribere debuerunt qui πεφωριῶσθαι per τὸν ὀφθαλμὸν πεπαχύνθαι explicant grammatici, Lex. rhet. Bekk. p. 293, 20., Etym. M. p. 666, 34., Zonaras p. 1544.
8. εἴη ἂν] δηλοῖ τὸ N.
— γὰρ] δὲ B.
— ἀνθρώπων A.B.C.G. ἀνθρώπου Ald.
9. β'] βα C. δευτέρῳ Ald.
— 'Αληθείας] περὶ ἀληθείας B.
10. 'Ανδοκίδης] p. 23, 41.
— ἐν τῷ om. C.
— γνήσιος] ὁ λόγος addit A. εἰ γνήσιος om. C.
11. δ'] τετάρτῳ Ald. τετάρτῃ C.
12. Αἰσχίνης] p. 73, 22.

Πινάκια: τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρουμένων. ἔοικε δ' εἶναι ταῦτα χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. ἐν δὲ τοῖς Φιλιππικοῖς ὅταν λέγῃ "μικρόν, ὦ Ἀθηναῖοι, "μικρὸν πινάκιον πάντα τὰ ἐνταῦθα," τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα τὰ κατὰ τῶν εἰσαγγελλομένων, ὡς καὶ παρὰ Δεινάρχῳ ἐν συνηγορίᾳ Αἰσχίνῃ δείκνυται.

Πιτθεύς: δῆμος τῆς Κεκροπίδος ἡ Πιτθός.

Πλειστηριάσαντες: ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην, εἰ γνήσιος. κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν.

Πληρωτής: Δημοσθένης κατ' Ἀριστογείτονος. πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν ἢ ἐωνημένοις. εἶεν δ' ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. τὸ δὲ πληρωτής

1. Hanc gl. post proximam ponit. ΠΙΝΑ'ΚΙΑ. τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρονόμων. ἔοικεν δὲ εἶναι ταῦτα (ταῦτα εἶναι Phot. et Suidas) 3. ὅταν λέγῃ ὁ ῥήτωρ· μικρόν, ὦ (ἄνδρες addit Phot.) Ἀθηναῖοι, 4. πάντα τὰ ἐνταῦθα om. 5. τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων:— 7. Πιτθός] Πιτθίς:— 8. ΠΛΕΙΣΤΗΡΙΑ'ΣΑΝΤΕΣ. ἀντὶ τοῦ ὑπερβαλλόντες (hoc accentu, qui est etiam in cod. Photii, altero λ punctis notato, quo significatur ὑπερβαλόντες, ut est in D. et apud Suidam) ἐν τῇ τιμῇ τῶν πιπρασκομένων. οὕτως Λυσίας καὶ Πλάτων ὁ κωμικός:— 13. ἐρανάρχαι:—

1. ΠΙΝΑ'ΚΙΑ] πινάκια. περὶ ὀνόματος εἴρηκε A. πινάκια. πιτθεὺς δῆμος τῆς κεκροπίδος ἡ πιτθός. περὶ ὀνόματος εἴρηκε B.

— τὰ—ὑποσημαίνει om. C.

— ὑπὸ τῶν κληρουμένων Valcken. ad Herodot. 3, 128. ὑπὸ τῶν κληρούντων Valesius. Legebatur ὑπὸ τῶν κληρονόμων. quæ verba om. A. In N. est τοῖς κληρουμένοις haud dubie ex conjectura correctoris.

2. ὡς—ἐν δὲ τοῖς] ὡς ἑξῆς σημαίνει ὁ ῥήτωρ. ἐν δὲ τοῖς A.B.

— Δημοσθένης] p. 998, 4.

— ἐν τῷ—ὀνόματος om. C.

3. δὲ τοῖς om. C.

— Φιλιππικοῖς] p. 96 extr. ubi est—ταῦτα πάντα κωλῦσαι δύναιτ' ἄν. Unde Schæferus ad Demosth. vol. 1. p. 511. apud Harpocrationem τὰ in ταῦτα mutari, ἐνταῦθα vero ad verba grammatici referri voluit.

— ἀθηναῖοι A.B.C.G. ἄνδρες ἀθηναῖοι Ald.

4. πάντα—πινάκιον om. B.

— τυχὸν π. λέγει] ἔοικε λέγειν π. N.

6. Αἰσχίνῃ] αἰσχύνῃ A. αἰσχίνου B. Ald.

7. Hanc gl. in B. legi in initio præcedentis glossæ post lemma πινάκια modo diximus. Post gl. πολέμαρχος reperitur in A. Plane deest in C. et Ald. Ex codice (Morelli) primum edidit Maussacus, habetque Epitome.

— Πιτθός A. B. Ceteri Πιτθός, quæ forma est ap. schol. Platon. p. 2. (325. Bekk.) Πίθος posuit Steph. Byz., quemadmodum in inscriptionibus non solum Πιτθεύς, sed etiam Πιθεύς reperitur, de quo dixi in Thesauro vol. 6. p. 1074.

8. τῇ om. B.C.

9. γνήσιος] ὁ λόγος addit A.

11. Δημοσθένης] p. 776, 7.

— κατ'] ἐν τῷ κατ' B.C.

13. δ' om. A.B. Ald.

ὄνομα καὶ ἐν τῷ κατὰ Μειδίου, καὶ ἐν τῷ κατὰ τῶν Πατροκλέους παίδων Δεινάρχου.

Πλινθεῖον: ὁ τόπος ἐν ᾧ πλίνθος πλάττεται· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου.

Πλυντήρια: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἑορτὴ παρ' Ἀθηναίοις.

Πλωθεύς: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Πλωθειὰ δῆμος τῆς Αἰγηΐδος, ὅθεν ὁ δημότης Πλωθεύς.

Ποδοστράβη: Ὑπερείδης ἔν τε τῷ κατ' Ἀθηνογένους καὶ ἐν τῷ κατ' Αὐτοκλέους. ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. διείλεκται Ξενοφῶν περὶ τῆς κατασκευῆς αὐτῶν ἐν τῷ περὶ κυνηγετικῶν καὶ τῆς χρήσεως.

Ποδοκάκκη: Δημοσθένης κατὰ Τιμοκράτους. τὸ ξύλον τὸ ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο, ἤτοι παρεμβεβλημένου τοῦ ἑτέρου κ, ποδῶν τις κάκωσις οὖσα, ἢ κατὰ συγκοπὴν, ὥς φησι Δίδυμος, οἷον ποδοκατοχή. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, ἐξηγεῖται τοὔνομα· φησὶ γὰρ "ἡ ποδοκάκκη αὐτό ἐστιν ὃ νῦν καλεῖται ἐν "τῷ ξύλῳ δεδέσθαι."

Πολιτεία: ἰδίως εἰώθασι τῷ ὀνόματι χρῆσθαι οἱ ῥήτορες ἐπὶ τῆς

3. ἐν ᾧ πλίνθοι πλάττονται. οὕτω Λυσίας:— 5. ΠΛΥΝΤΗΡΙΑ. ἑορτὴ Ἀθηναίων:— 7. Δ.—ἐφέσει om. Πλωθία (Πλωθεία Phot.) δῆμος τῆς Αἰγηΐδος. καὶ ὁ δημότης Πλωθεύς:— 9. ΠΟΔΟΣΤΡΑΒΗ. ποδοστράβας— ἡλίσκετο· οὕτως Ὑπερίδης καὶ Ξενοφῶν:— 16. ἢ κατὰ συγκοπὴν, ὡς Δίδυμος, οἷον ποδοκατοχή:—

1. καὶ post ὄνομα om. B.
— κατὰ Μειδίου] p. 547, 18. 574, 22.
— τῶν (τῶν om. C) Πατροκλέους] τῶν προκλέους A. B. τῶν π̄ροκλέους Ald.
2. Δεινάρχου Bekkerus. Libri Δείναρχος.
3. πλίνθος] ἡ πλίνθος Ald.
7. Δημοσθένης] p. 1310.
— τῇ] τῷ B.
— Πλωθειὰ] πλωθεῖα A.B.C. Ald.
9. καὶ ἐν] ἐν om. A.B.
— τῷ om. A.
11. κυνηγετῶν] κυνηγετικῶν A.
— ἐμβαίνοντα] ἐσβαίνοντα A. Ald. om. C.
— ἡλίσκετο] ἡλίσκοντο B.C.
12. Ξενοφῶν] Cyneg. 9, 11.
— περὶ τῆς κ.] ἐπὶ κ. C.
— ἐν] καὶ τῶν ἐν C.
— περὶ] κατὰ A.B.C.
14. Δημοσθένης] p. 733, 6.
15. τῷ additum ex Epitome.
17. ποδοκατοχή] ποδοκαταδοχήν C.
— Λυσίας] p. 117, 32.
— δ' om. B.C.
— γνήσιος] ὁ λόγος addit A.

δημοκρατίας, ὥσπερ ˈἸσοκράτης τε ἐν τῷ Πανηγυρικῷ καὶ Δημοσθένης ἐν Φιλιππικοῖς.

Πολέμαρχος: ˈἸσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς ˈἈπολλόδωρον. ἀρχή τις ἦν παρ' ˈἈθηναίοις οὕτω καλουμένη, ἔστι δὲ εἷς τῶν θ' ἀρχόντων. ˈἈριστοτέλης δ' ἐν τῇ ˈἈθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος, "πρὸς ταῦτά" φησιν "αὐτός τε εἰσάγει δίκας "τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλή"ρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα "τοῖς μετοίκοις ὁ πολέμαρχος." εἰκότως οὖν ὁ ῥήτωρ ἐν τῷ προειρημένῳ λόγῳ ἐγγυῆσαί φησι πρὸς τῷ πολεμάρχῳ ˈἈπολλόδωρον· ὁ γὰρ ˈἈπολλόδωρος Σάμιος τὸ γένος μέτοικος ἦν. ὅτι δὲ καὶ κύριον ὄνομα ὁ Πολέμαρχος τοῦ Λυσίου ἀδελφὸς αὐτός τε ὁ Λυσίας ἐν τῷ κατ' ˈἘρατοσθένους καὶ Πλάτων ἔν τε τῷ α' τῆς Πολιτείας καὶ ἐν Φαίδρῳ φησίν.

1. *δημοκρατίας. καὶ Ἰσοκράτης ἐν Πανηγυρικῷ καὶ* 3. ΠΟΛΕΜΑΡΧΟΣ. *ἀρχὴ τίς ἐστιν παρ' — ἔστιν δὲ οὗτος εἷς* 4. *ἔστι δὲ οὗτος εἷς τῶν θ' ἀρχόντων· διοικεῖ δὲ οὗτος ἄλλα τε καὶ εἰσάγει δικαστάς τε (δίκας τάς τε* Phot. et Suidas) *τοῦ ἀποστασίου, καὶ ἀπροστασίου (καὶ ἀπροστασίου* om. D.), *καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων ἔστι, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος. ἔστιν δὲ καὶ κύριον ὄνομα, ὁ τοῦ Λυσίου ἀδελφός* :—

1. *Ἰσοκράτης*] p. 67 a.
— *τῷ* om. B.C.
— *Δημοσθένης*] p. 10, 21.
2. *ἐν Φ.*] *ἐν τοῖς φ.* A. Ald.
4. *οὕτω — Ἀθηναίων* om. B. et in lacuna C.
6. *πολέμαρχος* :— C.
— *αὐτός τε*] Ex verbis Aristotelis ut hic leguntur non apparet cur *αὐτός τε* dictum sit, nec satisfacit Sauppii (Fragm. p. 228.) conjectura *αὐτοῖς τε* (h. e. Atheniensibus). Ego, nisi præcederet *πρὸς ταῦτα*, quod ipsum quoque suspectum est, non dubitarem *οὗτος δὲ εἰσάγει*— corrigere, quum hoc ipsum supra legatur s. v. *ἀποστασίου*, ubi Harpocratio verba *οὗτος δὲ— ἐπικλήρων* eodem e loco Aristotelis apposuit.
— *δίκας τάς τε*] *δικαστάς τε* A. Ald. et *τε* omisso N. *καὶ δικαστάς τε* B. Recte scriptum s. v. *ἀποστασίου* : unde correxit Blancardus.
7. *ἀπροστασίου καὶ ἀποστασίου* N. *καὶ ἀπροστασίου* om. B.
— *καὶ κλήρων*] *καὶ τὰς τῶν κλήρων* Sauppius.
8. *καὶ τἆλλα—μετοίκοις* om. B.
9. *οὖν—ἐν τῷ* om. A.B.
10. *ἐγγυῆσαι*] *κατεγγυῆσαι* Meier. de lite Attica p. 55.
— *Ἀπολλόδωρον* om. A. et in lacuna Ald. *Ἀπολλόδωρον. ὁ γὰρ* om. B. Nomen supplevit Maussacus ex suo, ut videtur, codice.
11. Inter *γὰρ* et *Σάμιος* lacuna in A., quam explevi addito *Ἀπολλόδωρος*, ut fecit Sauppius. Nam aut repeti nomen debebat aut dici *ὃς Σάμιος τὸ γένος μέτοικος ἦν*.
— *καὶ* om. B.
12. *Λυσίας*] p. 122, 20. 27.
13. *Πολιτείας*] p. 327 b.
14. *Φαίδρῳ*] p. 257 b.

Πολίοχος καὶ Πολυάλκης: ὀνόματα κύρια.

Πομπείας καὶ πομπεύειν: ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. μεταφέρει δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις· Μένανδρος Περινθίᾳ

ἐπὶ τῶν ἁμαξῶν εἰσι πομπεῖαί τινες
σφόδρα λοίδοροι.

πομπεῖα δὲ λέγεται τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ κατ' Ἀνδροτίωνος ὑποσημαίνει. "πομπείοις δὲ" φησι Φιλόχορος "πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας "τῶν λ' κατασκευασθεῖσιν. ὀψὲ δὲ" φησι "καὶ Ἀνδροτίων ἄλλα "κατεσκεύασεν."

Πόριος: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Πόρος ἐστὶ δῆμος τῆς Ἀκαμαντίδος· ὁ δὲ δημότης Πόριος.

1. ΠΟΛΥΑ'ΛΚΗΣ] Πολυαλκής (Πολυάκης Phot. et Suidas.) 3. μεταφέρει] ἡ μεταφορὰ 7. λοίδοροι :— 8. ΠΟΜΠΕΙ'Α. λέγεται πομπεῖα καὶ τὰ εἰς πομπὰς κατασκευαζόμενα (κατασκευασμένα D.) σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τοῖς κατὰ Ἀνδροτίωνος ὑποσημαίνει· Φιλόχορος δέ φησιν ὡς πρότερον (πρώτερον E.T. πρῶτον libri meliores Suidæ) ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας τῶν λ' κατασκευασθεῖσιν· ὀψὲ δὲ (δὲ om. Phot.) καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασεν :— 13. ΠΟ'ΡΙΟΣ] Πόρος. Πόρος ἐστὶ δῆμος] δῆμός ἐστι 14. Ἀκαμαντίδος ὁ Πόρος. καὶ ὁ δημότης Πόριος :—

1. om. C.

— ΠΟΛΙ'ΟΧΟΣ] πολίουχος A. et libri quidam Suidæ.

— ΠΟΛΥΑ'ΛΚΗΣ Bekkerus pro Πολυαλκής. Poliochus est apud Lysiam in oratione κατὰ τοῦ Πολιούχου p. 150, 26. ubi liber optimus πολίσχος, alius πολίαχος, Stephanus Πολίαρχος; Polyalces Isocratis Epist. 6. p. 418. ubi vulgo Πολυάκους, codex Urbinas πολυαλκοῦς, quod scribendum Πολυάλκους.

3. Δημοσθένης] p. 229, 3. 268, 25.

— μεταφέρει codices. ἡ μεταφορὰ Ald., quod ex Suida sumtum videtur, qui Epitomes scripturam sequitur.

— ταῖς additum ex Epitome.

4. ἀλλήλοις] ἀλλήλαις B.C.

8. δὲ om. B. et Epitome.

9. ὡς Epitome. καὶ A. B. C. ὡς καὶ Ald.

— κατ'] ἐν τῷ κατ' C.

— κατ' Ἀνδροτίωνος] p. 608, 4. 615, 2. 618, 4.

10. τοῖς additum ex Epitome.

11. κατασκευασθεῖσιν ex Epitome pro κατασκευασθεισῶν.

13. Δημοσθένης] Non legitur apud Demosthenem, quod notavit Taylor. vol. 7. p. 1333. ed. meæ.

— τῇ] τῷ B.

14. Πόριος] His Ald. adjunxit longiorem de vocabulo πόρος expositionem καὶ πόρος, πέρας, ἢ ποταμὸς usque ad verba τοῦ ὑδατικοῦ πόρου, ex Suida transcriptam s. v. πόρος.

Πορθμός: *Δημοσθένης ὑπὲρ Κτησιφῶντος. πόλις ἐστὶ τῆς Εὐβοίας.*

Πολύγνωτος: *Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. περὶ Πολυγνώτου τοῦ ζωγράφου, Θασίου μὲν τὸ γένος, υἱοῦ δὲ καὶ μαθητοῦ Ἀγλαοφῶντος, τυχόντος δὲ τῆς Ἀθηναίων πολιτείας ἤτοι ἐπεὶ τὴν Ποικίλην στοὰν ἔγραψε προῖκα, ἢ ὡς ἕτεροι, τὰς ἐν τῷ Θησείῳ καὶ τῷ ἀνακείῳ γραφὰς, ἱστορήκασιν ἄλλοι τε καὶ Ἀρτέμων ἐν τῷ περὶ ζωγράφων καὶ Ἰόβας ἐν τοῖς περὶ γραφικῆς.*

Πολύστρατος: *Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. Πολύστρατος αἰτίαν ἔχων τοὺς Ἑρμᾶς περικόψαι ἀνῃρέθη ὑπὸ Ἀθηναίων. ἕτερος δ' ἂν εἴη Πολύστρατος ὑπὲρ οὗ λόγος ἐστὶ Λυσίᾳ ἐπιγραφόμενος 'ὑπὲρ Πολυστράτου δήμου καταλύσεως ἀπολογία.' ἄλλος δ' ἂν εἴη Πολύστρατος οὗ Δημοσθένης μνημονεύει ἐν Φιλιππικοῖς, λέγων αὐτόν ποτε ἐν Κορίνθῳ ξενικὸν τρέφειν. μήποτε μέντοι ἐνταῦθα δεῖ γράφειν Πολύτροπον ἀντὶ τοῦ Πολυστράτου· παρὰ μηδενὶ γάρ φησιν ὁ Δίδυμος εὑρηκέναι τὸν Πολύστρατον ἡγησάμενον*

3. ΠΟΛΥ'ΓΝΩΣΤΟΣ. *οὗτος ζωγράφος μὲν ἦν τὴν τέχνην, Θάσιος δὲ τὸ γένος· υἱὸς δὲ καὶ μαθητὴς Ἀγλαοφῶντος· τυχὼν δὲ τῆς Ἀθηναίων πολιτείας, ἢ ἐπεὶ τὴν ποικίλην στοὰν ἀνέγραψε προῖκα, ἤ, ὡς ἔνιοι, τὰς ἐν τῷ θησαυρῷ καὶ τὰς ἐν Ἀνακείῳ γραφάς* :— 9. ΠΟΛΥ'ΣΤΡΑΤΟΣ. *οὗτος αἰτίαν ἔχων τὰς ἑρμὰς* (sic etiam Phot ; *τοῦ Ἑρμᾶς* Suidas) 10. *Ἀθηναίων. οὗ Λυσίας μέμνηται. ἕτερος δέ ἐστιν ὑπὲρ οὗ λόγον ἔγραψεν ὁ αὐτὸς Λυσίας. ἄλλος δ' ἂν εἴη οὗ μνημονεύει Δημοσθένης ἐν Φιλιππικοῖς λέγων* 15. *τοῦ* om. (habent Phot. et Suidas)

1. ΠΟΡΘΜΟ'Σ] *πορθμεύς* D. et Ald.
— *Δημοσθένης*] p. 248, 15.
4. *τοῦ* om. B., *μὲν* om. C.
6. *ἔγραψε* Valcken. ad Theocriti Adoniaz. p. 374. Libri et Epitome *ἀνέγραψε*.
— *Θησείῳ* cum Valcken. vel *Θησέως ἱερῷ* cum Reinesio Boeckh. Œc. vol. 1. p. 576. Legebatur *θησαυρῷ*.
7. *Ἀρτέμων*] Videtur Artemonem Cassandrensem dicere, de quo v. Mueller. Fragm. Hist. vol. 4. p. 313.
— *τῷ*] *τοῖς* C.
8. *Ἰόβας*] *ἰώβας* A.
9. *γνήσιος*] *ὁ λόγος* addit A.
10. *τοὺς*] *τοῦ* C.
11. *λόγος*] *ὁ λόγος* B.C.
13. *οὗ* Epitome. Libri *οὗ καὶ*.
13. *Δημοσθένης*] p. 46, 20.
— *μνημονεύει*] *μέμνηται* C.
— *Φιλιππικοῖς* Epitome. Libri *τοῖς Φιλιππικοῖς*.
14. *μήποτε μέντοι*] *μηδὲ* C.
— *Πολύτροπον*] Hanc conjecturam refutavit Sauppius in annotatione ad locum Demosthenis.
15. *τοῦ* additum ex solo C.
— *παρὰ—τὸν Πολύστρατον* om. B.C.
P. 255, 1. *τὸν Πολύτροπον—ἦν ὁ Πολύτροπος*] Hæc verba si scripsit Harpocratio, de quo dubitat Sauppius l. c., quodammodo suam ipse conjecturam postmodum refutavit. Legit ea Epitomes auctor, qui absurdo modo compendifecit.

τοῦ ἐν Κορίνθῳ ξενικοῦ. τὸν Πολύτροπον μὲν οὖν ἐν τῇ ϛ´ τῶν Ἑλληνικῶν Ξενοφῶντος εὗρον· ἀλλ' οὔτε τὸ ξενικὸν τοῦτο ἔφησεν ὁ Ξενοφῶν τρέφεσθαι ὑπ' Ἀθηναίων οὔτε αὐτὸς Ἀθηναῖος ἦν ὁ Πολύτροπος.

Ποσειδεών· Ὑπερείδης ἐν τῷ κατὰ Μαντιθέου. ὁ ϛ´ μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται.

Ποταμός· Λυσίας ἐν τῷ κατὰ Νικίδου ἀργίας. Ποταμὸς δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης Ποτάμιος. ἐκωμῳδοῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράπτους, ὡς ἄλλοι τε δηλοῦσι καὶ Μένανδρος ἐν Διδύμαις.

Προβαλλομένους: ἀντὶ τοῦ ὑποτιθεμένους, οἷον πρὸ τῆς πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους, ὡς Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔν τε τῷ κατ' Αἰσχίνου τὴν προαίρεσιν τῆς πολιτείας προβεβλημένην καὶ ἄπιστον εἶπεν ἀντὶ τοῦ εὐλαβῶς ἔχουσαν καὶ φυλαττομένην. ἐν δὲ τῷ ὑπὲρ Κτησιφῶντός φησι "προβληθεὶς πυλάγορος οὕτω καὶ "τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτόν." ἐν δὲ τῷ κατὰ Μειδίου "καὶ προὐβαλόμην" φησὶν "ἀδικεῖν τοῦτον περὶ τὴν ἑορτήν" ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων, [ὠνόμασα τοῦτον ἐν τῷ δήμῳ]. ἐν δὲ τοῖς

1. ξενικοῦ. τὸν μέντοι Πολύτροπον Ἀθηναῖον (ἀθηναίων Suidæ cod. Paris.) εἶναι :— 5. ΠΟΣΕΙΔΕΩ'Ν. ἔκτος μὴν—καλούμενος :— 7. ΠΟΤΑΜΟ'Σ.—ἀργίας om. Ποταμοὶ δῆμος 9. τοὺς παρεγγράφους :— 11. ὑποτιθεμένους] προτιθεμένους D. πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους, ὡς (ὁ Phot. et Suidas) Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καὶ τῷ κατ' Αἰσχίνου, τὴν προαίρεσιν, φησὶν, τῆς πολιτείας προβεβλημένην καὶ ἄπιστον εἶπεν (εἰπεῖν Phot. et Suidas) ἀντὶ τοῦ εὐλαβῶς ἔχουσαν καὶ φυλαττομένην· ἐν δὲ τῷ κατὰ Μειδίου (μηδίου E.T.) καὶ προὐβαλόμην (προβαλούμην E.T. Phot. et libri quidam Suidæ), φησὶν, ἀδικεῖν τοῦτον περὶ τὴν ἑορτὴν, ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. ἐν

1. Πολύτροπον] πολύστρατον A. — ϛ´] η´ A., om. B. C. ὀγδόῃ Ald. ἔκτῃ Maussacus. Est 6, 5, 11.
2. ὁ Ξενοφῶν om. C.
5. ὁ om. A.
7. Νικίδου] νικήδου C. — δῆμος (ὁ δῆμος B.) om. A.
9. παρεγγράπτους] παρεγγράφους B.C.N. et Epitome.
10. ἐν] ἐν ταῖς A.B Ald.
11. ὑποτιθεμένους] ὑπερτιθ. B.C.
12. ὡς] ὁ A. om. B.C. — Δημοσθένης] p. 258, 23.
12. ὑπὲρ] ἐν τῷ ὑπὲρ C.
13. κατ' Αἰσχίνου] p. 349, 15.
15. ὑπὲρ Κτησιφῶντος] p. 277, 1. — οὕτω] οὗτος N.
17. προὐβαλόμην — τοῦτον] προυβαλλόμην (sic etiam Ald.) φησὶν τοῦτον ἀδικεῖν B.
19. ὠνόμασα Blancardus. ὠνόμασαν libri. ὀνομάσας Bekkerus, nisi, quod non improbabile, totum hoc ὠνόμασα τοῦτον ἐν τῷ δήμῳ omittendum sit, ut factum in Epitome. — τῷ om. C.

Φιλιππικοῖς φησι "προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτε οἶδεν "οὔτε ἐθέλει" ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μάχην.

Προβολάς: ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων ἢ τειχῶν ἢ τινων ἄλλων δυνάμεων ἐπὶ σωτηρίᾳ καὶ κράτει γιγνομένων Δημοσθένης ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, εἰ γνήσιος. παρὰ δ' Αἰσχίνῃ ἐν τῷ περὶ τῆς πρεσβείας ἡ προβολὴ τοὔνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν.

Προβούλευμα: τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

Προβόλιον: εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν. Ὑπερείδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν τροπικῶς ἐκ μεταφορᾶς ἐχρήσατο τῷ ὀνόματι. ὅτι δὲ δόρυ τι σημαίνει πολλάκις ἔστι μαθεῖν ἐκ τοῦ Ξενοφῶντος Κυνηγετικοῦ.

Πρόβολοι: αἱ εἰς θάλατταν προκείμεναι πέτραι καὶ οἷον ἀκταί τινες· Δημοσθένης ἐν Φιλιππικοῖς.

Πρόεδροι: ἐκληροῦντο ὑπὸ τῶν πρυτάνεων καθ' ἑκάστην ἐκκλη-

δὲ τοῖς Φιλιππικοῖς φησὶ, προβάλλεσθαι δὴ (δὴ om. Suidæ codex Leid.) βλέπειν ἐναντίον, οὔτε οἶδεν οὔτε ἐθέλοι, ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μάχην :—

3. ΠΡΟΒΟΛΑ'Σ. ἀντὶ—γινομένων. οὕτω Δημοσθένης· παρὰ δὲ Αἰσχίνῃ· ἡ προβολὴ τοὔνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαι τινὰ ἀδικεῖν :— 10. εἶδός τι δόρατος, ὃ (ᾧ Z. Phot. et Suidas) χρῶνται—πρὸς τῇ τῶν συῶν θήρᾳ (τὴν—θήραν Suidas) :— 14. αἱ εἰς θάλατταν (θάλασσαν Phot. et Suidas) 16. ΠΡΟ'ΕΔΡΟΙ. ἐκληροῦντο τῶν πρυτανέων (ἐκλήρουν τὴν τῶν πρυτάνεων Suidas) καθ' ἑκάστην πρυτανείαν εἷς ἐξ ἑκάστης φυλῆς, πλὴν τῆς πρυτανευού-

1. Φιλιππικοῖς] p. 51, 27.
— φησὶ om. C.N.
— προβάλλεσθαι] προβαλέσθαι A.
— δ' ἢ] δὴ A.B. Ald. δεῖ C.N.
— οἶδεν] εἶδεν A.B.C.
2. ὡς om. B.C.
4. σωτηρίᾳ] ἀσφαλείᾳ C.
— Δημοσθένης] p. 218, 21.
5. περὶ τῶν πρὸς Ἀλέξανδρον] περὶ τῶν ἀλεξάνδρου C. περὶ τοῦ ἀλεξάνδρου B.
— συνθηκῶν] ξυνθηκῶν C.
— γνήσιος] ὁ λόγος addit A.
— Αἰσχίνῃ] p. 47, 26.
6. τοὔνομα om. B.C.
8. εἰς] ἐς A.
9. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου] Immo ὑπὲρ Κτησιφῶντος p. 228, 6.
11. συῶν] θηρῶν C.
— Τυρρηνῶν] Vide quæ s. v. κομιστικὰ πλοῖα dicta sunt.
12. τροπικῶς Valesius. τροπικῶν libri, quod fortasse delendum.
13. Κυνηγετικοῦ] c. 10, 1. et 3.
14. θάλατταν προκείμεναι Epitome. Libri θάλασσαν ἐγκείμεναι.
15. Δημοσθένης] p. 104 extr.
— ἐν om. A. Ald.
16. ἐκληροῦντο—ἐκκλησίαν] Libri et Epitome ἐκληροῦντο τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν. Ex glossa simili in Lex. rhet. Bekk. p. 290, 10. correxit Luzac. de Socrate cive p. 98. probante Schœmanno de comit. Ath. p. 86. (plagula F.) et p. 85 (plagula G).

σίαν, εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. πολλάκις δ' ἐστὶ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, ὡς καὶ παρὰ Δημοσθένει ἐν τῷ κατ' Ἀνδροτίωνος καὶ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος. ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτοὺς εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

ΠΡΟΗΡΟΣΙΆ: *Ὑπερείδης Δηλιακῷ. ὄνομα θυσίας.*

ΠΡΟΘΕΣΜΊΑΣ ΝΌΜΟΣ: *Δημοσθένης ὑπὲρ Φορμίωνος. τὴν τῶν ε' ἐτῶν ἂν λέγοι προθεσμίαν ὁ ῥήτωρ, ὡς ἐν τῷ λόγῳ ὑποσημαίνει, καὶ Λυσίας ἐν τῷ πρὸς Μενέστρατον, εἰ γνήσιος ὁ λόγος ἐστίν.*

ΠΡΌΚΛΗΣΙΣ: *εἰώθεσαν, ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς βάσανον ἢ εἰς μαρτυρίαν τοῦ πράγματος, καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι, τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον ὠνομάζετο πρόκλησις. παρὰ πολλοῖς δέ ἐστι ῥήτορσι. Δημοσθένης δ' ἐν τῷ κατὰ Στεφάνου καὶ περὶ ὧν πρόκλησις γίνεται δηλοῖ.*

ΠΡΟΚΏΝΙΑ: *Λυκοῦργος κατὰ Μενεσαίχμου. Δίδυμος "προ-"κώνιά" φησίν "ἐστι πυροὶ μέλιτι κεχρισμένοι." Ἀριστοφάνης δ' ὁ γραμματικὸς καὶ Κράτης τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτω φασὶν ὀνο-*

σης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας (*τὴν ἐκκλησίαν* meliores libri Suidæ) *διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. ὅτι δὲ ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτοὺς εἴρηκεν Ἀ. ἐν Ἀθηναίων πολιτείᾳ* :— 7. ΠΡΟΗΡΟΣΙ'Α] *προηροσίαι* D. et Phot. *προηρόσια* Suidas. *Ὑ. Δηλιακῷ* om. 8. ΝΟ'ΜΟΣ (*νόμους* Phot.)—*προθεσμίαν* :— 11. ΠΡΟ'ΚΛΗΣΙΣ. *εἰώθεσαν ὁπότε δικάζοιντο τινὲς, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας* (*θεράποντας ἢ θεραπαίνας* Phot.) *εἰς βάσανον* 14. *ὠνομάζετο πρόκλησις* :— 17. ΠΡΟΚΩ'ΝΙΑ (*προκωνία* E.T. Sic et paullo post, sed infra *προκώνια*). *Λυκοῦργος* (*ἐν τῷ* addit D.) *κατὰ Μενεσαίχμου· Δίδυμος δὲ προκώνια, φησὶ, πυροὶ μέλιτι κεχρημένοι* (*κεχρισμένοι* Phot. *κεχρημένοι* Suidas).

2. *τὰς ἐκκλησίας* Epitome et Lex. rhet. l. c. Libri *τὴν ἐκκλησίαν*.
4. *ὡς* om. B.C.
— *Δημοσθένει*] p. 596.
— *Αἰσχίνῃ*] p. 59, 13.
7. ΠΡΟΗΡΟΣΙ'Α] Vel *προηρόσια*. Nam utriusque formæ exempla reperiuntur, de quibus dictum in Thesauro vol. 6, p. 1713. Ceterum conf. quæ s. v. *Ἄβαρις* dicta sunt. Totam gl. om. C.
8. *Δημοσθένης*] p. 952, 19.
— *ε'* om. N.
10. *ὁ λόγος* om. B. post *ἐστιν* habet Ald.
11. *ἐνίοτε* om. A.
15. *Δημοσθένης*] p. 1106, 8.
17. *Δίδυμος*] *δὲ* addit Ald.
18. *πυροὶ*] *τυροὶ* A. *πυρὶ* B.
— *κεχρισμένοι*] *κεχρημένοι* A.N.
19. *Κράτης*] Photius p. 455, 12. *προκώνια. ἢ ὡς Κράτης πυροκώνια, αἱ ἄφρυκτοι κριθαί· ἢ πυροὶ μέλιτι κεχρισμένοι.* Similiter Lex. rhet. Bekk. 294, 4. Alios grammaticorum locos attuli in Thesauro.

μάζεσθαι. ἔοικε δὲ καὶ ἐκ πυρῶν καὶ ἐκ κριθῶν γίνεσθαι, ὡς Αὐτοκλείδης ἐν τοῖς ἐξηγητικοῖς ὑποσημαίνει. Δήμων δ' ἐν τῷ περὶ θυσιῶν φησι "καὶ προκώνιά ἐστι κάχρυς κατηρειγμέναι μετὰ ἀρωμάτων."

ΠΡΟΜΕΤΡΗΤΆΣ: Ὑπερείδης ἐν τῷ περὶ τοῦ ταρίχους. Δείναρχος κατ' Ἀγασικλέους "Σκύθου τοίνυν τοῦ προμετρητοῦ ἦν υἱὸς καὶ ἐν "δημόταις γέγονε καὶ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκεν."

ΠΡΟΝΑΊΑ: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Προναία διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρύσθαι. ταύ-

1. *γίνεσθαι. Δήμων δέ φησιν ἐν τῷ περὶ θυσιῶν· καὶ προκώνιά ἐστιν κάχροις* (*κάχρυς* Phot.) *κατηριγμένα* (sic) *μετὰ ἀρωμάτων*:— 4. ΠΡΟΜΕΤΡΗΤΆΣ—] Totam Epitomes gl. habet Phot., omisit Suidas substituta alia, in qua Dinarchi locus plenior affertur. *Ὑπερείδης—Ἀγασικλέους* om. 5. *τοίνυν* om. 7. ΠΡΟΝΑΊΑ] *πρόνοια* *Αἰσχίνης—Κτησιφῶντος* om. 8. *Προναία* (*προναῖα* D.)] *πρόνοια* Phot. et Suidas.

P. 257, 19. *ἀφρύκτων*] *ἀρήκτων* A. In *φρυκτῶν* corruptum apud Erotian. p. 98. notavit Nauck. de Aristoph. Byz. p. 223.

— *Κράτης*] Haud dubie in libro *περὶ τῶν Ἀθήνησι θυσιῶν*: v. Mueller. Fragm. Hist. vol. 4. p. 369. *Κράτητα ἐν Ἱεροποιΐαις* citat Harpocratio s. v. *Ὁμηρίδαι*, qui liber dubitatur an idem sit.

P. 258, 1. *δὲ* om. B.C.

— *καὶ* ante *κριθῶν* om. B.C.

3. *κάχρυς*] Libri *κάγχρυς*. Correctum ex Epitome.

— *κατηρειγμέναι* N. *κατηριγμέναι* C, Ald. *κατηρηγμέναι* A. *κατηριμέναι* vel *κατηρεμέναι* B.

4. Hanc glossam proximamque om. B.C.

— *προμετρητὰς* A. et Epitome. *προμετρήσας* N. Legebatur *προμετρητής*, quod *προμετριτής* scriptum in Ald., in qua hæc gl. sic est interpolata ex Suida, *ὁ τοὺς πιπρασκομένους πυρροὺς* (corrige *πυροὺς*) *ἐν τῇ ἀγορᾷ καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν. καὶ ὁ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων προμετρητὴς ἐκαλεῖτο. Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους* (verba *Ὑ.—ταρίχους* non leguntur apud Suidam, sed ex Harpocrationis glossa illata sunt.) *καὶ* (hoc *καὶ* interpolator de suo addidit) *Δείναρχος κατ' Ἀγασικλέους* (*κατ' Ἀ.* non est apud Suidam), *Σκύθου τοίνυν τοῦ μετριτοῦ* (corr. *προμετρητοῦ* ex Suida) *υἱὸς, ἐν δημόταις γέγονε, καὶ οὗτος* (*καὶ ὁ αὐτὸς* apud Suidam) *ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκεν, καὶ ὑμεῖς ἐκλαμβανόμενοι* (apud Suidam *ἐκλαβόμενοι*) *παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.*

— *Ὑπερείδης—Ἀγασικλέους*] *ὑπερείδης δείναρχος* N.

5. *ἦν* om. A.N.

6. *δημόταις*] *δημοσίοις* Sauppius Fragm. p. 332.

— *αὐτὸς* Epitome. *οὕτως* A.N. *οὗτος* Ald.

— *προμετρῶν*] *μετρῶν* A.

7. 8. ΠΡΟΝΑΊΑ, quod altero loco habet Epitome utroque restituit Bekkerus pro *πρόνοια*, quod Æschinei loci explicationi quam sequitur Harpocratio repugnat. Vide quæ de hoc nomine dixi in Thesauro.

7. *Αἰσχίνης*] p. 69, 14. 18. 70, 37.

8. *παρὰ*] *περὶ* N. *ἐν* N.

— *Ἀθηνᾶ* om. A.

— *ἱδρύσθαι*] *ἢ ὅτι προὐνόησεν ὅπως τέκοι ἡ λητώ* addit Ald. ex alia Suidæ glossa.

την δὲ ʽΗρόδοτος ἐν τῇ η′ Προνηΐην ὀνομάζει. ἱστορήκασι δὲ περὶ αὐτῆς ἄλλοι τε καὶ Στάφυλος ἐν τῷ περὶ Αἰολέων.

Πρόπεμπτα: Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφὴν, εἰ γνήσιος, καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ ʽΑγνίου κλήρου. Δίδυμος "μήποτε" φησιν "ἄλλα τινά ἐστιν ἐπιτίμια τὰ πρὸ τῆς καταβολῆς· "εἰσὶ γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαί φα-"σιν, ὡς Λυσίας ἐν τῷ κατὰ ʼΑπολλοδώρου ὑποσημαίνει. εἰ μὴ ἄρα "πρόπεμπτα ὡς Δημοσθένης πρὸ ἡμερῶν πέντε· ταῖς γὰρ μεγάλαις "δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν."

Προπεπωκότες: ἀντὶ τοῦ προδεδωκότες. ἐκ μεταφορᾶς δὲ λέγεται. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἐν ἀρχῇ τῶν Μυρμιδόνων Αἰσχύλος

1. Προνηΐην] προνοίην Phot. ὀνομάζει :— 3. ΠΡΌΠΕΜΠΤΑ. Δίδυμός φησιν, μήποτε ἄλλα τινά εἰσιν ἐπιτίμια τὰ πρὸ τῆς καταβολῆς (μεταβολῆς Phot.)· εἰσὶν γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαι φασίν· εἰ μὴ ἄρα πρόπεμπτα ὡς Δημοσθένης πρὸς ἡμέρας ε′· ταῖς γὰρ μεγάλαις δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν :— 11. λέγεται :—

1. ἐν τῇ η′] c. 37.
— Προνηΐην A.N. προνοίην B.C. Ald.
2. Αἰολέων] τῶν αἰολέων A.
4. γνήσιος] ὁ λόγος addit A.
— Δημοσθένης] p. 1076, 21. in lege.
— τοῦ additum ex A.
5. καταβολῆς] προκαταβολῆς Saupp. Fragm. p. 177.
6. τῶν τιμημάτων] τῶν ἀμφισβητουμένων dici debuisse monet Boeckh. Œc. vol. 1. p. 478. "Didymi scholion pertinebat ad Lysiæ orationem adversus Mixidemum. Dubitabat de sensu, utrum "πρόπεμπτα summa pecuniæ esset "ante paracatabolen pendenda: "hanc enim in causis publicis "quintam partem summæ ejus, de "qua lis esset, fuisse: an significaret causam per quinque dies "in judicio actum iri. Utrumque falsum est: πρόπεμπτα apud "Demosthenem est πρὸ ε′ ἡμερῶν "et eundem sensum etiam apud "Lysiam habuerit: cf. Vales. ad "h. l. In oratione igitur contra "Apollodorum Lysias nihil dixerat "nisi hoc, paracatabolen quintam "partem esse summæ, de qua lis "esset. Publica igitur videtur "causa fuisse: cf. Lysiæ fragm. "apud Harpocrat. s. v. ἀποστασίου "et παρακαταβολή. Schœmann. de "lite Att. p. 621." SAUPP. ad Fragm. p. 177.
8. πρὸ ἡμερῶν Bekkerus collata glossa simili Lex. rhet. Bekk. p. 296, 8. Libri πρὸς ἡμέρας.
— γὰρ] μὲν γὰρ B.C.
10. ΠΡΟΠΕΠΩΚΌΤΕΣ] προπεπτωκότες A.C.
11. λέγεται] Addit Ald. προπεπωκέναι παρὰ τὴν συνουσίαν πολλὰ μὲν ἀργυρώματα τὸν προειρημένον, πολλὰ δὲ χρυσώματα τῷ Προυσίᾳ. quæ sunt verba historici (haud dubie Polybii, ut animadvertit Valesius) post Harpocrationis glossam posita ab Suida.
— Δημοσθένης] p. 324, 23. καὶ δ. Ald.
— Κτησιφῶντος :— C.
— ἀρχῇ A.B. ἀρχῇ δὲ Ald.
12. Αἰσχύλος (αἰσχύλου A. B.)] Fragm. 128.

τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ,
δοριλυμάντους Δαναῶν μόχθους,
*οὓς * * * εἴσω κλισίας.*

Προπύλαια ταῦτα: *Δημοσθένης Φιλιππικοῖς. δύναται μὲν δεικτικῶς λέγεσθαι ἅτε ὁρωμένων τῶν προπυλαίων ἀπὸ τῆς Πυκνὸς, βέλτιον δὲ ἀναφορικῶς ἀκούειν· ἐπὶ γὰρ τῶν πάνυ γνωρίμων οὕτω λέγειν εἰώθασιν. ἐν γοῦν τῷ κατ' Αἰσχίνου αὐτὸς ὁ Δημοσθένης φησὶν "ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν ὑποκριτήν." περὶ δὲ τῶν προπυλαίων τῆς ἀκροπόλεως, ὡς ἐπὶ Εὐθυμένους ἄρχοντος οἰκοδομεῖν ἤρξαντο Ἀθηναῖοι Μνησικλέους ἀρχιτεκτονοῦντος, ἄλλοι τε ἱστορήκασι καὶ Φιλόχορος ἐν τῇ δ'. Ἡλιόδωρος δ' ἐν α' περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως μεθ' ἕτερα καὶ ταῦτά φησιν "ἐν ἔτεσι μὲν ε' παντελῶς "ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη δισχίλια ιβ'· πέντε δὲ πύλας ἐποί"ησαν, δι' ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασιν."*

Προσεποιήσατο: *ἀντὶ τοῦ ἀντεποιήσατο· Ἰσαῖος ἐν τῷ κατὰ Νικοδήμου "οὐδεὶς πώποτε προσεποιήσατο οὐδ' ἠμφισβήτησε τῆς "κληρονομίας ἐκείνῳ."*

4. Φ.] *ἐν φ.* D. 5. *προπυλέων—πυκνῶς* Phot. 7. *ὁ* om., ante *αὐτὸς* habet Phot. 8. *ἤρετο*] *εἴρετο* (*ἤρετο* Phot. et Suidas) *περὶ δὲ—ἐν τῇ δ'* om. 11. *Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως φησὶν, ἐν ἔτεσι μὲν γὰρ ε' παντελῶς—ἀνηλώθη* $\overline{β}ι\overline{β}$ 14. *εἰσίασιν*] *εἰσιᾶσιν* E.T. 15. ΠΡΟΣΕΠΟΙΗ'ΣΑΝΤΟ (*–ατο* Z.). *Ἰσαῖος ἀντὶ τοῦ ἀντεποιήσαντο* (*–ατο* Z.):—

1. *μὲν*] *με* A.B. Ald.

3. Indicavi cum Ald. lacunam post *οὓς*, quam Blomfieldus in Præf. ad Persas p. xiv. explevit additis verbis *σὺ προπίνεις*. Rectius fortasse Heathius *προπεπωκὼς* supplevit conjunctum cum secunda verbi alicujus persona, quæ vel ante *εἴσω κλισίας* vel post hæc verba addita fuit, cujusmodi est quod Hermannus proposuit *οὓς προπεπωκὼς εἴσω κλισίας | θάσσεις*.

4. *Δημοσθένης*] p. 174, 23.

5. *ἀπὸ*] *ἐκ* C.

— *Πυκνὸς* ex Epitome restitui pro *πνυκός*.

7. *Δημοσθένης*] p. 401, 16.

8. *ἤρετο*] *ἠρετίσαντο* B.C.G.

10. *Ἀθηναῖοι*] *οἱ ἀθηναῖοι* C.

— *Μνησικλέους*] *μνησικλέα* B. *μνησικλείδου* C.G.

11. *δ'* om. B.

— *α'*] *πρώτῳ* Ald. *α^η* C.

13. *ιβ'*] *δώδεκα* Ald. *ια'* B.C.

15. ΠΡΟΣΕΠΟΙΗ'ΣΑΤΟ—*ἀντεποιήσατο*] Legebatur *προσεποιήσαντο—ἀντεποιήσαντο*. Correxi ex Z. et correxit Sauppius Fragm. p. 239. ex allatis Isæi verbis, quæ leguntur in oratione de Pyrrhi hereditate p. 38, 4. quam cur *κατὰ Νικοδήμου* appellaverit Harpocratio ex argumento orationis patet quod exposuit Schœmannus p. 225.

17. *ἐκείνῳ*] Legebatur *ἐκείνων*. Correxit Sauppius ex Isæo.

Πρόσκλησις: ἡ εἰς δικαστήριον κλῆσις, καὶ ΠΡΟΣΚΑΛΕΣΑΣΘΑΙ τὸ παραγγέλλειν εἰς δίκην· Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου, Ὑπερείδης ἐν τῷ πρὸς Δάμιππον.

Προσπάλτιοι: Λυσίας ἐν τῷ περὶ Μακαρτάτου κλήρου. Πρόσπαλτα δῆμος τῆς Ἀκαμαντίδος.

Προστάτης: οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες προστάται ἐκαλοῦντο· ἀναγκαῖον γὰρ ἦν ἕκαστον τῶν μετοίκων πολίτην τινὰ Ἀθηναῖον νέμειν προστάτην· Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας. μέμνηται καὶ Μένανδρος ἐν ἀρχῇ τῆς Περινθίας.

Προστασία: Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος "ταῦτα οὐχ "ὁμολογουμένη προστασία;" ἀντὶ τοῦ βοήθεια προϊσταμένου τινὸς καὶ ἐπικουροῦντος τῷ ἀδικουμένῳ. Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας "ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν "εἰς τὴν προστασίαν τῆς Καδμείας." Δίδυμος τὴν προστασίαν φησὶ κεῖσθαι ἀντὶ τῆς προστάσεως, τουτέστι τῆς ὑπ' ἐνίων προστάδος καλουμένης.

Πρὸς τῇ πυλίδι Ἑρμῆς: Δημοσθένης ἐν τῷ κατ' Εὐέργου.

1. ΠΡΟΣΚΑΛΕ'ΣΑΣΘΑΙ] προσκαλέσαι Suidas. 3. κλήρου :— 4. Λυσίας—κλήρου om. Πρόσπαλτα] Προσπάλτα (Πρόσπαλτα Suidas) 7. ἑκάστῳ 8. Ἀθηναῖον νέμειν προστάτην:— 12. παραπρεσβείας 14. Καδμείου 17. Ἑρμοῦ (Ἑρμῆς Phot. et Suidas).

1. εἰς] εἰς τὸ B.

2. Δημοσθένης] p. 1054, 25.

3. ἐν τῷ om. B.

4. ΠΡΟΣΠΑ'ΛΤΙΟΙ] προσπάλτιον A.

— περὶ] πρὸς A.B. Ald. Pleniorem orationis inscriptionem vide s. v. σιπύα.

— Πρόσπαλτα] Codices πρόσπαλτος. Formam ab Steph. Byz. agnitam servavit Ald. et Epitome.

7. ἐκαλοῦντο] καλοῦνται B.C.

— ἕκαστον] ἑκάστῳ Ald.

8. Ἀθηναῖον ex Epitome pro Ἀθηναίων.

— ἀρισταγόρας (ἀρισταγόρου Ald.): —B.C. Ipsa Hyperidis verba ex alius grammatici Lexico sumta apposuit Suidas s. v. νέμειν προστάτην.

10. Δημοσθένης] p. 872, 6.

11. προϊσταμένου] ὡς προϊσταμένου N.

12. ἀδικουμένῳ] Hoc si scripsit Harpocratio, negligenter scripsit pro ἀδικοῦντι, ut apparet e loco Demosthenis: de quo monuit Schæferus.

12. Αἰσχίνης] p. 42, 2.

— πρεσβείας] παραπρεσβείας Ald.

13. προπύλαια om. C.N.

14. τῆς—προστασίαν om. C.

15. ἀντὶ τῆς ex Epitome pro ἀντὶ τοῦ. Articulum om. A. Duobus modis hoc dici poterat, aut τὴν προστασίαν ἀντὶ τῆς προστάσεως, aut τὸ προστασίαν ἀντὶ τοῦ πρόστασιν.

17. ΠΡΟ'Σ ΤΗ'Ι ΠΥΛΙ'ΔΙ 'ΕΡΜΗ'Σ] De hoc dixit jam s. v. Ἑρμῆς ὁ πρὸς τῇ πυλίδι, ubi ut hic Philochori librum quintum citat; tertium Hesychius, ἀγοραῖος Ἑρμῆς· οὕτως ἐλέγετο ὄντως, καὶ ἀφίδρυτο Κεβρίδος (Ὑβριλίδου nomen, qui fuit eponymus olymp. 71, 4. restituit Boeckh. in comment. de archonti-

Φιλόχορος ἐν τῇ ϛ' "Ἀθηναίων" φησὶν "ἀρξαμένων τειχίζειν τὸν Πειραιᾶ οἱ θ' ἄρχοντες τοῦτον ἀναθέντες ἐπέγραψαν

ἀρξάμενοι πρῶτοι τειχίζειν οἵδ' ἀνέθηκαν
βουλῆς καὶ δήμου δόγμασι πειθόμενοι.

Προστιμήματα: *ἔστι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων, ὥσπερ ἡ ἐπωβελία παρ' Ἰσαίῳ ἐν τῷ κατὰ Διοκλέους, ἔστι δὲ καὶ ἄλλα ἃ προστιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.*

Προστρόπαιον: *Αἰσχίνης περὶ τῆς πρεσβείας "ἐάσετε οὖν "αὐτὸν τὸ τοιοῦτον προστρόπαιον" ἀντὶ τοῦ ἄγος καὶ τὸ μίασμα. καὶ* προστροπὴ *δὲ παρὰ τοῦτο λέγεται· ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. κεῖται δὲ τοῦτο τὸ ὄνομα καὶ παρὰ Δεινάρχῳ ἐν τῷ κατὰ Φορμισίου ἀσεβείας.*

Προτέλεια: *Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. τὰ πρὸ τοῦ τελεσθῆναί τι τῶν εἰς τὸ θεῖον ἀναφερομένων γινόμενα ἢ διδόμενα καλεῖται προτέλεια.*

Προφερεῖς: *οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.*

Προσφορά: *ἀντὶ τοῦ πρόσοδος Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. καὶ παρ' ἄλλοις δὲ τοὔνομα.*

1. *Φιλόχορος φησὶν* (*περὶ* add. Phot. et Suidas) *τοῦ πρὸς τῇ πυλίδι Ἑρμοῦ ὡς ἀρξάμενοι τειχίζειν* 2. *ὑπέγραψαν οὕτως, ἀρξάμενοι* (*ἀρξάμενοι* om. Phot. et Suidas) 5. ΠΡΟΣΤΙΜΗ'ΜΑΤΑ] *προστίμημα* D. 6. *ὥσπερ* om. *παρ'—Διοκλέους* om. 9. ΠΡΟΣΤΡΟ'ΠΑΙΟΝ. *τὸ ἄγος*, (*τὸ* add. Phot.) *μίασμα· οὕτως Αἰσχίνης, καὶ προστροπὴ δὲ λέγεται· ἐν γοῦν τῷ κατὰ* K. *ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ* :— 14. ΠΡΟΤΕ'ΛΕΙΑ. *Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας· τὰ πρὸ τοῦ τελεσθῆναί τι τῶν εἰς ῥόθιον* (*εἰς τὸ θεῖον* Suidas, non Photius. *εἰς θεῖον* D.) *ἀναφερομένων γιγνόμενα ἢ διδόμενα* :— 19. ΠΡΟΣΦΟΡΑ'. *ἀντὶ τοῦ* (*ἀντὶ τοῦ* om. Suidas) *πρόσοδος, ὡς Ἀντιφῶν* :—

bus pseudeponymis p. 5.) *ἄρξαντος, ὡς μαρτυρεῖ Φιλόχορος ἐν τρίτῳ.*

P. 261, 17. *Δημοσθένης*] p. 1146. extr.

P. 262, 2. *τοῦτον*] *τοῦτο* A.

4. *βουλῆς*] *βουλῇ* C.

6. *ἐπωβελία*] *ἐπ' ὠφελείᾳ* B.C.

— *ἐν τῷ* om. B.

7. *Δημοσθένης*] p. 700, 16.

9. *Αἰσχίνης* (*ἐν τῷ* addit Ald.)] p. 49, 22.

— *πρεσβείας*] *παραπρεσβείας* Ald.

— *ἐάσετε* ex Æschine restitutum pro *ὅσα τε*, quod fortasse ex *ἐάσατε* corruptum, quæ multorum librorum Æschinis scriptura est.

10. *αὐτὸν* ex Æschine. *αὐτὸς* A. Ald. *αὐτὸ* B.C.

— *τὸ* om. C.

11. *κατὰ Κτησιφῶντος*] p. 69, 11.

13. *καὶ* om. B.C.

— *Φορμισίου*] *φορμίωνος* B.C.

14. *τὰ*] *τὰ γὰρ* A.

17. *νέοι μὲν*] *μὲν νέοι* A.

— *Αἰσχίνης*] p. 7, 35.

19. ΠΡΟΣΦΟΡΑ'] *προφορὰ* A.

Προχειροτονία: ἔοικεν Ἀθήνησι τοιοῦτό τι γίγνεσθαι, ὁπόταν τῆς βουλῆς προβουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη· πρότερον γίνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ πότερον δοκεῖ περὶ τῶν προβουλευθέντων σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβούλευμα. ταῦτα δ' ὑποσημαίνεται ἐν τῷ Λυσίου πρὸς τὴν Μιξιδήμου γραφήν.

Προσχαιρητήρια: Λυκοῦργος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ. ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη ὅτε δοκεῖ ἀπιέναι ἡ Κόρη.

1. ΠΡΟΧΕΙΡΟΤΟΝΙ'Α. ἔοικεν Ἀθήνησιν τοιοῦτόν τι (τι om. Phot.) γίγνεσθαι (γίνεσθαι Phot.), ὁπότ' ἂν τῆς βουλῆς βουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη· πρότερον γίνεται (γίγνεται Suidas) χειροτονία 6. Λυκοῦργος—διαδικασίᾳ om. 7. παρ'] παρὰ τοῖς D.

1. τοιοῦτο] τοιοῦτον A.

2. προβουλευσάσης] βουλευσάσης N. cum Epitome.

3. πότερον] πρότερον A.

4. προβούλευμα] βούλευμα B.C.N.

5. τῷ] τῇ B.

6. ΠΡΟΣΧΑΙΡΗΤΗ'ΡΙΑ] προχαιρητήρια C. Cum hac glossa Valesius comparavit Suidæ verba προχαριστήρια, ἡμέρα ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες, ἀρχομένων καρπῶν φύεσθαι, λήγοντος ἤδη τοῦ χειμῶνος, ἔθυον τῇ Ἀθηνᾷ (immo τῇ Κόρῃ, ut monet Saupp. Fragm. p. 266.) τῇ δὲ θυσίᾳ ὄνομα προχαριστήρια. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερωσύνης "τὴν τοίνυν ἀρχαιοτάτην θυσίαν διὰ τὴν ἄνοδον τῆς θεοῦ, ὀνομασθεῖσαν δὲ προχαριστήρια διὰ τὴν βλάστησιν τῶν καρπῶν τῶν φυομένων (φυομένων ἀγομένην Sauppius)." et Lex. rhet. Bekk. p. 295, 3. προσχαριστήρια· ἡ μυστικὴ θυσία τῆς Ἀθηνᾶς (hic quoque male Minervam nominat pro Proserpina) ὑπὲρ τῶν φυομένων καρπῶν. Hinc Harpocrationi pro Προσχαιρητήρια, quod vocabulum ipsa forma sua suspectum est, Προχαριστήρια restituendum videri dixi in Thesauro vol. 6. p. 2102. Lycurgi oratio περὶ τῆς ἱερωσύνης ab nemine memoratur, ἱερωσύνην vero quandam ex ejus oratione περὶ τῆς ἱερείας memorat Harpocratio s. v. τραπεζοφόρος: ut ἱερωσύνης pro ἱερείας, de qua oratione pluribus constat veterum testimoniis, errore aut grammatici aut librarii illatum videri possit. Nam etsi orationem περὶ τῆς ἱερείας ad sacerdotem Minervæ Poliadis pertinuisse scimus, nihil tamen impedit quominus etiam Προχαριστήρια in Proserpinæ honorem celebrata ab oratore in ea memorata fuisse credamus pariterque ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ πρὸς Κοιρωνίδας, nisi quis hanc orationem verbis περὶ τῆς ἱερωσύνης significatam credere malit, quæ Sauppii sententia est Fragm. p. 266. Is diei festo Προσχαιρητήρια dicto, quo Liberam morientem (de qua v. Preller. in libro de Cerere et Proserpina p. 120.) valere juberent, illum oppositum fuisse putat quo deam vere redeuntem salutarent, προχαριστήρια. Quare horum sacrorum mentionem conjunctam fuisse et orationem illam, quam Suidas περὶ τῆς ἱερωσύνης inscriptam fuisse dicit, non diversam esse ab Lycurgi vel Philini oratione de Croconidarum et Cœronidarum contentione. Croconidarum autem gens quum Eleusinia fuerit, originemque ab Triptolemo, Celei nepote, duxerit, non mirum esse si hujus gentis partes quædam fuerint in Cereris et Proserpinæ sacris.

6. διαδικασίᾳ] δικασίᾳ B.C.

Πρυτανεῖα: Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα· ἦν δὲ ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων.

Πρυτανείας: Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λϛʹ ἢ λεʹ, ἃς ἑκάστη φυλὴ πρυτανεύει. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Πρυτανεύοντα: κυρίως μὲν ἀντὶ τοῦ πρύτανιν ὄντα· ἀντὶ δὲ τοῦ διοικοῦντα Δημοσθένης ἐν Φιλιππικοῖς. ἐν δὲ ἑτέρῳ Φιλιππικῷ "πρυτανευόμενοι" φησιν ἀντὶ τοῦ διοικούμενοι καὶ διατρεφόμενοι.

Πρυτάνεις: τὸ δέκατον μέρος τῆς βουλῆς τῶν φʹ, νʹ ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, πρυτάνεις ἐκαλοῦντο. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ ιʹ φυλαὶ κλήρῳ λαχοῦσαι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

1. ΠΡΥΤΑΝΕΙ῀Α. *ἔστιν παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα· ἦν δὲ ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων* :— Hanc gl. proximæ postponit. Sic etiam Phot. et Suidas, nisi quod Suidas post verba *καὶ ἑκάστη φυλὴ πρυτανεύει* sic pergit *παρὰ δὲ τοῖς ἄλλοις Ἀττικοῖς πρυτανεῖα ἀργύριόν τι—ὁ διώκων.* 5. ΠΡΥΤΑΝΕΙΆΣ. *ἔστιν ἀριθμὸς ἡμερῶν ἤτοι λϛʹ ἢ λεʹ, καὶ ἑκάστη φυλὴ πρυτανεύει* :— 8. ΠΡΥΤΑΝΕΎΟΝΤΑ. *κυρίως μὲν ἀντὶ τοῦ πρυτανέα ὄντα· ἀντὶ δὲ τοῦ διοικοῦντα Δημοσθένης ἐν Φιλιππικοῖς* :— 11. ΠΡΥΤΑΝΕΙ῀Σ (*πρυτάνεις* Phot. et Suidas)· *τὸ δέκατον μέρος τῆς βουλῆς τῶν φʹ, νʹ* (numeros *φν* in unum conjungunt Epitome et Phot., de quo errore conf. quæ s. v. *μετρονόμοι* in annotatione diximus) *ἄνδρες ἀπὸ μιᾶς φυλῆς οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις* (*ἀλλήλοις* Phot.) *αἱ δέκα φυλαὶ κλήρῳ λαχοῦσαι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος* :—

P. 263, 7. *ἀγομένη* Portus apud Suidam. *γινομένη* N. Ceteri *γραφομένη*.

— *ἀπιέναι*] Hæc est quæ *κάθοδος* dici solet. *ἀνιέναι* Valesius: quæ necessaria erit correctio, si *Προσχαιρητήρια* eadem sint quæ ab aliis *Προχαριστήρια* dicuntur: de quo dubitari modo diximus.

— *ἡ* om. B.C.

P. 264, 1. *Ἰσοκράτης*] p. 373 c.

6. *ἤται*] *ἢ ἐκ* C.

— *λϛʹ*] *λη* A.

— *ἃς* Sauppius Fragm. p. 142. Legebatur *καί*.

8. *πρύτανιν* correxi ex Suidæ libris deterioribus. Legebatur *πρυτανέα*.

8. *δὲ* om. B.C.

9. *Φιλιππικοῖς*] p. 58, 18.

— *ἑτέρῳ φιλιππικῷ* A.B.C.G. *δευτέρῳ φιλιππικῶν* Ald. Est p. 126, 14.

10. *διατρεφόμενοι* N. Ceteri *διαστρεφόμενοι*.

11. *βουλῆς* ex Epitome pro *φυλῆς*.

12. *πραττόμενα* ex Epitome pro *ταττόμενα*.

14. *ὡς* addidi ex Epitome.

— Post *Κτησιφῶντος* Ald. addidit *Διαπιστοῦντες δὲ οἱ πρυτάνεις ἤδη τῷ Φιλίππῳ διὰ τὴν περὶ τὰ Κριτικὰ κακοπραγμοσύνην καὶ τὸν Ἡρακλείδην ὑπώπτευον ἐγκάθετον εἶναι.* Quæ sunt Polybii verba ab Suida allata s. v.

Πτοιόδωρος: Δημοσθένης. ὄνομα κύριον.

Πτανόψια: Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου "καὶ ἡμεῖς "Πυανόψια ταύτην τὴν ἑορτὴν καλοῦμεν, οἱ δ' ἄλλοι Ἕλληνες Πα"νόψια, ὅτι πάντας εἶδον τοὺς καρποὺς τῇ ὄψει." Ἀπολλώνιος καὶ σχεδὸν πάντες οἱ περὶ τῶν Ἀθήνησιν ἑορτῶν γεγραφότες Πυανεψιῶνος ἑβδόμῃ τὰ Πυανέψια Ἀπόλλωνι ἄγεσθαί φασι. δεῖν δέ φασι λέγειν Πυανέψια, καὶ τὸν μῆνα Πυανεψιῶνα· πύανα γὰρ ἕψουσιν ἐν αὐτοῖς καὶ ἡ εἰρεσιώνη ἄγεται.

Πύγελα: Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου, εἰ γνήσιος. πόλις ἐστὶν ἐν τῇ Ἰωνίᾳ τὰ Πύγελα, ἥν Θεόπομπός φησιν ἐν ϛ' λαβεῖν τοὔνομα ἐπειδὴ τῶν μετ' Ἀγαμέμνονός τινες διὰ νόσον τὴν περὶ τὰς πυγὰς ἐνταῦθα κατέμειναν.

Πτώματα ἐλαιῶν: Λυσίας ἐν τῷ κατὰ Νικίδου. λέγοι ἂν ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα κατά τινα τύχην πεπτωκότα.

Πτελίδα: τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον Λυσίας ἐν τῷ κατ' Εὐφήμου καὶ Ἀριστοφάνης Ἥρωσιν.

1. ΠΤΥΟ'ΔΩΡΟΣ. *ὄνομα κύριον*:— 2. ΠΥΑΝΟΨΙ'Α (*πτυανοψία* D.). *Λυκοῦργος ἐν τῇ κ. Μ. καὶ ἡμεῖς Ποιανοψίαν* (*Πυανοψίαν* Phot. et Suidas) 3. *Πανοψίαν, ὅτι πάντας εἶδον* (*ἴδον* E.T.) *τοὺς καρποὺς τῇ ὄψει· Πυανεψιῶνος δὲ ὅτι ζ'* (*ἕβδομον* Phot.) *τὰ Πυανέψια Ἀπόλλωνι ἄγεσθαι φησίν* (*φασίν* Phot. et Suidas). *δεῖν δέ φησι* (*φασι* Phot. et Suidas) *λέγειν Πυανέψια* 9. *Λυσίας—γνήσιος* om. 10. *τὰ Πύγελα. λαβεῖν δὲ τοὔνομα* (*τὸ ὄνομα* Suidas) 11. *τὸν* (*τῶν* Phot. et Suidas) *μετ' Ἀγαμέμνονα τινὲς νοσήσαντες τὰς πυγὰς ἐνταῦθα κατέμειναν*:— 13. *Νικίδου*] *Νικίου* Phot. 16. *Λυσίας—Ἥρωσιν*] *οὕτως Λυσίας καὶ Ἀριστοφάνης*:—

πρυτάνεις, ubi *Κρητικὰ* ex cod. Paris. A. restitutum.

1. om. G.

— ΠΤΟΙΟ'ΔΩΡΟΣ] *ποιόδωρος* A. B. Ald.

— *Δημοσθένης*] p. 324, 14. 436, 2.

2. ΠΥΑΝΟ'ΨΙΑ Bekkerus. *ποιανεψία* C. *ποιανοψίαι* A.B. Ald. *ποιανοψία ἢ πανοψία* N.

3. *Πυανόψια* Bekkerus. *πυανεψίαν* C. *ποιανοψίαν* A.B. Ald.

— *Πανόψια* Bekkerus. Libri *πανοψίαν*.

4. *τοὺς* om. A. Ald.

— *Ἀπολλώνιος*] De hoc diximus s. v. *πέλανος*.

— *καὶ*] *δὲ καὶ* N.

5. *πάντες* additum ex C.

6. *Πυανέψια*] *πυανεψίαν* B.C.G.

— *Ἀπόλλωνι*] *ἀπολλώνιος* A. Ald.

— *ἀ. φασι* Bekkerus pro *ἀ. φησι*.

7. *Πυανέψια*] *πυανεψίαν* C.

8. *αὐτοῖς* ex Epitome pro *αὐτῇ*.

— *ἡ* om. N.

9. *ὑπὲρ Βακχίου*] *ὑπὲρ ἐκβακχείου* B. *ὑπὲρ ἐκβακχίου* C.G. Post *Βακχίου* fortasse excidit *καὶ Πυθαγόρου*, quod duobus aliis in locis addit Harpocratio.

— *γνήσιος*] *ὁ λόγος* addit A.

10. *ἐν ϛ'*] *ἐν τῇ ϛ'* B.C.

11. *διὰ*] *διὰ τὴν* B.C.

15. *τινα τύχην*] *τύχην τινὰ* C.

16. *σφραγιδοφυλάκιον*] Apud Hesychium *σφραγιδοφύλαξ*.

17. *Ἀριστοφθνης*] Fragm. 297.

Πυθαέα: Ὑπερείδης πρὸς Ἀπελλαῖον. ἄπορον πῶς ἀπὸ τούτου ἐσχημάτισται παρὰ τῷ Διδύμῳ· καὶ γὰρ οὐ δι' ὧν παρέθετο ὁ γραμματικὸς ὠνόμασε τὰ Πύθια ἑορτὴν, ἀλλὰ τὸν Πύθιον Ἀπόλλωνα.

Πυκνί: Ὑπερείδης ἐν τῷ ὑπὲρ Χαιρεφίλου α' φησὶ "καὶ τῆς "Πυκνὸς τοσοῦτον εὑρισκούσης." ἡ τῶν Ἀθηναίων ἐκκλησία οὕτως ἐκαλεῖτο. πολλὴ δ' ἡ μνήμη αὐτῆς παρ' Ἀττικοῖς. Κλείδημος δ' ἐν γ' Πρωτογονίας "συνῄεσάν" φησιν "εἰς τὴν Πύκνα ὀνομασθεῖσαν "διὰ τὸ τὴν συνοίκησιν πυκνουμένην εἶναι."

Πύλαι καὶ Πυλαία καὶ Πυλαγόρας: Πύλαι μὲν καλοῦνται αἱ Θερμοπύλαι· Δημοσθένης Φιλιππικοῖς. ἐκλήθησαν δ' οὕτω διὰ τὸ στενὴν εἶναι ταύτην τὴν εἴσοδον ἀπὸ Θετταλίας εἰς τὴν Φωκίδα πορευομένοις. Πυλαία δ' ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφι-

1.—3. ΠΥΘΙΆ. ἑορτὴ τοῦ Πυθίου Ἀπόλλωνος :— Om. Phot. et Suidas. 4. ΠΥΚΝΙ'] Πύκνη (πνυκί D.) Ὑ.—εὑρισκούσης om. 6. πολλὴ—Ἀττικοῖς om. Κλείδημος δέ φησιν Πυκνὰν (φησὶν Πυκναν Phot. sine accentu. φησὶ πύκναν vulgo apud Suidam, cujus codex optimus φησὶν οὕτως) ὀνομασθῆναι 9. ΠΥ'ΛΑΙ καὶ ΠΥ'ΛΑ (Πυλαία Phot. et Suidas) καὶ ΠΥΛΑΓΟ'ΡΑΣ. Πύλαι μὲν καλοῦνται (καλεῖται Suidæ cod. Paris.) αἱ Θερμοπύλαι· ἐκλήθησαν δὲ οὕτως, διὰ τὸ στενὴν εἶναι ταύτην τὴν εἴσοδον ἀπὸ Θετταλίας εἰς τὴν Φωκίδα πορευομένοις· Πυλαία) δὲ ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων. ἐπέμποντο δὲ ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμφικτυονίας τινὲς, οἵπερ ἐκαλοῦντο Πυλαγόροι (Πυλαγόραι Suidas) :—

1. Hanc gl. om. C.

— ΠΥΘΑΕ'Α Kiesslingius. πυθαεία A. Ald. πυθακία B. "Conf. "de hoc Apolline Pausan. 2, 35, "2. 36, 5. 3, 10, 8. 11, 9. Wes- "sel. ad Diodor. 12, 78., inter- "pretes Thucyd. 5, 53. Steph. "Byz. s. v. Πυθώ, Valcken. Epist. "ad Roev. p. lxxiv." SAUPP. Fragm. p. 278. Lex. rhet. Bekk. p. 295, 23. Πυθαιός (Πύθεια καὶ Πυθαῖος Etym. M. p. 696, 22.). ὄνομα ἑορτῆς Ἀθήνησιν (Ἀθήνησιν om. Etym.) ἀγομένης τοῦ Ἀπόλλωνος, ἀπὸ τοῦ Πύθωνος (ἀπὸ τοῦ Π. om. Etym.) "In- "telligunt illi Πυθαῆα, de quibus "exposuerunt Boeckh. Corp. Inscr. "vol. 1. p. 560. 921. Krausius "Hellenic. 2, 2. p. 66. Hermann. "Antiq. sacr. Græc. § 52, 36. Ap- "paret igitur Didymum Πυθαέα "vel Πυθαιέα,) cognomen Apolli- "nis et Πυθαῆα festum Apollinis "confudisse. Hoc notat Harpo- "cratio vel auctor Harpocratio- "nis." SAUPP. Fragm. p. 278.

1. ἄπορον Maussacus pro ἀπορῶν.

— ἀπὸ] ἐπὶ Sauppius.

2. Διδύμῳ] δήμῳ B.

3. Πύθια] τάθεα B.

4. ΠΥΚΝΙ'] πνυνὶ et infra· πνυκὸς et πνύκα libri. Correxit Valesius.

5. εὑρισκούσης, nisi verba plura exciderunt, corruptum habendum. εὖρος οὔσης Dobræus. εὖρος ἐχούσης (vel σχούσης) Sauppius Fragm. p. 303.

7. ἐν] ἐν τῷ B.C.

— Πρωτογονίας] πρωτογονείας A.

9. ΠΥΛΑΓΟ'ΡΑΣ] πυλαγόραι A.

10. Δημοσθένης] p. 44, 24.

11. ἀπὸ Θετταλίας et τὴν om. C.

κτυόνων· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὅτι δέ τις ἐγίγνετο σύνοδος τῶν Ἀμφικτυόνων εἰς Πύλας Ὑπερείδης τε ἐν ἐπιταφίῳ καὶ Θεόπομπος ἐν τῇ λʹ εἰρήκασιν. ἐπέμποντο δ' ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμφικτυονίας τινὲς οἵπερ ἐκαλοῦντο Πυλαγόραι· μνημονεύουσι δὲ καὶ τούτων πολλοί, ὥσπερ καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καὶ Ἀριστοφάνης ἐν δευτέραις Θεσμοφοριαζούσαις.

Πυριλάμπης: Ἀντιφῶν ἐν τῷ περὶ τῶν ταῶν. ὄνομα κύριον.

Πύρρα: Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. Πύρρα μία πόλις ἐστὶ τῶν ἐν Λέσβῳ, ὡς μαρτυροῦσιν οἱ τὰς περιόδους γράψαντες.

Πωληταὶ καὶ πωλητήριον: οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, ιʹ τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης· διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα· Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας βʹ. διείλεκται δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. πωλητήριον δὲ καλεῖται ὁ τόπος ἔνθα συνεδρεύουσιν οἱ πωληταί· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις.

Πωλάς: ἀντὶ τοῦ πράσεις Ὑπερείδης ἐν τῷ πρὸς Ἀπελλαῖον. ἔστι τοὔνομα καὶ ἐν τοῖς Σώφρονος Ἀνδρείοις.

Πωλῶσι: Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας "ἢ ἐν τῇ ἀγορᾷ

8. ΠΥΡΙΛΑΜΠΗ'Σ. ὄνομα κύριον :— 9. ΠΥ'ΡΡΑ. μία πόλις τῶν ἐν Λέσβῳ :— 12. ΠΩΛΗΤΑΙ' (πωλῆται E.T. πωλῆται D. hic et infra) καὶ ΠΩΛΗΤΗ'ΡΙΟΙ. οἱ μὲν πωληταὶ ἀρχή τις ἐστὶν Ἀ., δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φ. ἑκάστης· διοικοῦσι (δοκοῦσι Suidas) δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τὰ τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα· πωλητηρὸν δὲ καλεῖται ὁ τόπος, ἔνθα συνεδρεύουσιν οἱ πωληταί :— 19. ΠΩΛΑ'Σ (hoc accentu ap. Suidam, sine accentu E.T. Photius et Suidæ codex A.). ἀντὶ τοῦ πρᾶσις Ὑπερίδης. ἔστιν τὸ ὄνομα καὶ ἐν τοῖς σώφροσιν (Σώφρονος Phot. et Suidas) ἀνδρείοις :— 21. ΠΩΛΩ'ΣΙΝ (πωλοῦσιν Phot. et Suidæ libri deteriores). Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, ἢ ἐν τῇ ἀγορᾷ πωλῶσιν (πολοῦσιν

1. Δημοσθένης] p. 278. in Decretis spuriis.

3. τῇ om. B.C.

5. Δημοσθένης] p. 277. 278.

6. καὶ Ἀριστοφάνης (Fragm. 306.)] ἀριστοφάνης τε A.B.

— δευτέραις codices. ταῖς Ald.

8. ΠΥΡΙΛΑ'ΜΠΗΣ Bekkerus. Libri πυριλαμπής.

9. ΠΥ'ΡΡΑ] πύρραι B. C. Dixit de hac urbe Schneid. ad Xenoph. Hellen. 1, 6, 16.

— γνήσιος] ὁ λόγος addit A.

16. αὐτῶν] αὐτῶν καὶ C.

19. ΠΩΛΑ'Σ] πῶλας Ald. et sic vel πώλας codices, ut videtur. Recto accentu apud Suidam.

21. Δημοσθένης] p. 1367 extr.

“πωλῶσί τι ἀποπεφασμένως.” Δίδυμός φησιν ἀντὶ τοῦ πορνεύωσι φανερῶς· πωλεῖν γὰρ τὸ παρέχειν ἑαυτὴν τοῖς βουλομένοις, ὅθεν καὶ τὸ πορνεύειν, ὅπερ ἐστὶ περνάναι. ἐγὼ δέ φημι ὅτι κυρίως ἔταξε νῦν ὁ ῥήτωρ τὸ πωλεῖν· φησὶ γὰρ τὸν νόμον οὐκ ἐᾶν ἐπὶ ταύταις μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ’ ἐργαστηρίου κάθωνται ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως.

Πώμαλα: ἀντὶ τοῦ οὐδαμῶς Δημοσθένης ἐν τῷ κατ’ Αἰσχίνου. ἔστι δὲ τὸ μὲν πῶ Δώριον, τιθέμενον ἀντὶ τοῦ πόθεν· τὸ δὲ μάλα ἤτοι παρέλκει ἢ ἔστιν ἐν ποσοῖς λεγόμενον πώμαλα, οἷον

Phot.) τί ἀποπεφασμένως (verba Δημοσθένης—ἀποπεφασμένως om. Suidas, qui in fine glossæ, ubi oratoris verba repetuntur, post ἀποπεφασμένως addit Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας ἢ ἐν τῇ ἀγορᾷ) Δίδυμος φησὶν ἀντὶ τοῦ πορνεύουσι φανερῶς· πωλεῖν γὰρ τὸ παρέχειν ἑαυτὸν τοῖς βουλομένοις· ὅθεν καὶ τὸ πορνεύειν, ὅπέρ ἐστι περνάναι (περάναι D. περᾶναι Phot. περνᾶν Suidas). ἐγὼ δέ φημι ὅτι κυρίως ἔταξεν νῦν ὁ ῥήτωρ τὸ πολεῖν (πωλεῖν Phot. et Suidas)· φησὶν γὰρ τὸν νόμον οὐκ ἐᾶν ἐπὶ ταύτης μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ’ ἐργαστηρίου κάθωνται, ἢ ἐν τῇ ἀγορᾷ πωλῶσίν (πολοῦσι D. πωλοῦσι Phot. et Suidæ codex unus) τι ἀποπεφασμένως :—

7. ΠΩ^ ΜΑ^ΛΑ (πώμαλα Suidas, non Photius). ἀντὶ τοῦ (ποθὲν, οἷον addunt Phot. et Suidas) οὐδαμῶς. ἔστι δὲ τὸ μὲν πῶ—ἀντὶ τοῦ πόθεν, τὸ δὲ μᾶλα (μάλα Suidas) ἤτοι (ἢ D. et Phot.) παρέλκει (παρέλκον D.), ἢ ἔστιν ἐν πώτοις (πόσοις D. ἢ ἐν πωτοις ἐστὶ Phot.) λεγόμενον :— Tum nova gl. πῶμαλα. οἷον οὐ μάλα (apud Photium πώμαλα: οἴνου μᾶλα) :— Apud Suidam postrema pars glossæ confusa est cum alius grammatici notatione hunc in modum, —ἢ παρέλκει, ἢ ἐν συνηθείᾳ λεγόμενον ἐν τῷ πώμαλα (πῶμα codex A.), οἷον, οὐ μάλα, ἀντὶ τοῦ οὐ, ἢ ἀντὶ τοῦ οὐδόλως. ἔστι δὲ Ἀττικόν. Λυσίας ἐν τῇ πρὸς Ἀσύβαρον (?) ἐπιστολῇ “γενναίως γὰρ αἱ γυναῖκες πώμαλα ἔφασαν ὀρχεῖσθαι (ὠρχῆσθαι libri optimi) αὐτὰς, δέον οὐδὲ πιούσας ἀπηλλάχθαι τοῦ συμποσίου ἐγένοντο (ἐγένοντο delevit Kusterus). Apparet ex his quam præpostere egerit qui Harpocrationi verba ἢ ἐν συνηθείᾳ intulit in ed. Aldina pro ἢ ἔστιν ἐν ποσοῖς. Post ἐγένοντο (quod simile est verbo ἐγένεθ’ in fragmento Aristophanis quod Harpocratio attulit) sequitur apud Suidam alia glossa, partim cum Harpocratione consentiens, πώμαλα. κεῖται καὶ παρὰ Δημοσθένει ἡ λέξις “οὐχ ἵνα ἐξέλθητε· πώμαλα.” καὶ παρ’ Ἀριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ’ ἓν πώμαλα.

1. πορνεύωσι Bekkerus. Libri πορνεύουσι.

2. ἑαυτὴν] ἑαυτὸν A.

3. περνάναι] περάναι C. περᾶναι B.

4. τὸν νόμον οὐκ ἐᾶν] οὐκ ἐᾶν τὸν νόμον A.

— ταύταις N. Legebatur ταύτης.

5. ἐπ’] ὑπὲρ B.C.

— κάθωνται] κάθηνται B.

7. Δημοσθένης] p. 357, 2.

7. Αἰσχίνου] οὐχ ἵνα ἐξέλθητε πώμαλα, quæ sunt Demosthenis verba, addit Ald. ex Suidæ gl. πώμαλα illata.

8. δὲ om. B.C.

9. παρέλκει] παρέλκον C.G.

— ἢ ἔστιν ἐν ποσοῖς (πόσοις A. B.)] ἢ ἐν συνηθείᾳ Ald., quod ex Suida sumtum.

— πώμαλα] ἐν τῷ πώμαλα Ald.

— οἷον οὐ] ἀντὶ τοῦ B.C.G.

οὐ μάλα, οὐ πάνυ. πολὺ δ' ἐστὶν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ· Ἀριστοφάνης

> ἢ λοιδορία τις ἐγένεθ' ὑμῖν; πώμαλα
> οὐδ' εἶπον οὐδέν.

Ρ.

Ῥαΐσας: ἀντὶ τοῦ ῥᾷον ἔχων ἐκ τῆς νόσου Δημοσθένης Φιλιππικοῖς.

Ῥηναία: Ὑπερείδης Δηλιακῷ. ἔστι δὲ νῆσος πλησίον Δήλου.

Ῥητορικὴ γραφή: Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην. ἔοικε ῥητορικὴ γραφὴ καλεῖσθαι ἡ κατὰ ῥήτορος γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον, ὥσπερ λέγεται καὶ πρυτανικὴ ἡ κατὰ πρυτάνεως καὶ ἐπιστατικὴ ἡ κατ' ἐπιστάτου. ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαὶ γραφαί τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ κατὰ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀντιφῶν ἐν τῷ κατὰ πρυτάνεως, εἰ γνήσιος, ὑποσημαίνει.

Ῥίνων: Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ὄνομα κύριον.

6. νόσου :— 8. ῬΗΝΑΙΆ] Ῥήναια ap. Suidam, sine accentu ap. Photium. Ὑπερείδης—δὲ om. 9. ῬΗΤΟΡΙΚῊ ΓΡΑΦΉ. ἔοικε ῥητορικὴ γραφὴ (ῥ. γρ. om. Suidas) καλεῖσθαι. ἡ κατὰ ῥήτορος γράψαντος (ἢ add. Suidas) εἰπόντος ἢ πράξαντος παράνομον· ὥσπερ λέγεται (λέγεται om. D.) πρυτανικὴ (γραφὴ addit Suidas) ἡ κατὰ πρυτανέως (πρυτάνεως Suidas) καὶ ἐπιστατικὴ ἡ κατ' ἐπιστάτου. (verba ὥσπερ—ἐπιστάτου in alia de v. ῥητορικὴ γραφὴ glossa habet Suidas) ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαὶ γραφαί τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ τῶν ῥητόρων γραφαὶ εἰσάγονται :— 16. ῬΙΝΩΝ. ὄνομα κύριον :

1. Ἀριστοφάνης] Fragm. 126.

3. ἢ addidit Meinekius. ἦ voluerat Toupius pari jure.

— ἐγένεθ' ὑμῖν] ἐγεννήθ' ἡμῖν B. C.G.

— πώμαλα— οὐδέν] Hæc alterius personæ verba sunt.

4. οὐδ'] οὐδὲ B.C.G. Legebatur οὐδέν, pro quo οὐδενὶ est in A.

— οὐδέν C. οὐδενί A. Ald. οὐδένιν B.

6. ῥᾷον ἔχων Epitome. Libri ῥάως ἔσχον. ῥᾷον σχὼν correctum in exemplari Goesiano.

— Δημοσθένης] p. 13, 2.

8. ῬΗΝΑΙΆ] Rectius, ut videtur, Ῥήναια, de quo dixi in Thesauro vol. 6. p. 2373.

9. ῬΗΤΟΡΙΚῊ ΓΡΑΦΉ] Similia sed brevius tradit Lex. rhet. Bekk. p. 299, 21. diversa Lex. rhet. Cantabrig. p. 677, 14.

11. καὶ ante ὥσπερ A. Ald.

13. ῥητορικαὶ] καὶ ῥητορικαὶ B.G.

— γραφαί om. B.C.G.

14. κατὰ ante τῶν ῥητόρων addidit Petitus Leg. Att. 3, 2. p. 347. "Id videtur ad δοκιμασίαν ῥητόρων "(v. Kust. in v. ἐπαγγελία) referri "posse." BERNH. ad Suid. vol. 2. p. 610.

15. γνήσιος] ὁ λόγος addit A.

16. Ἰσοκράτης] p. 372 b.

— ὄνομα addidi ex Epitome.

ʽΡοδογούνη: γυνὴ μὲν ʽΥστάσπου, Ξέρξου δὲ καὶ Δαρείου μήτηρ.

ʽΡοδωνιά: Δημοσθένης ἐν τῷ περὶ τῶν ʼΑρεθουσίου ἀνδραπόδων. ῥοδωνιά ἐστιν ἡ τῶν ῥόδων φυτεία, ὥσπερ ἰωνιὰ ἡ τῶν ἴων, ὡς ʽΕκαταῖος ἐν αʹ περιηγήσεως δηλοῖ.

ʽΡόθιον: ʽΥπερείδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν. ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσιν. τοὔνομα παρὰ πολλοῖς καὶ παρʼ ʼΑριστοφάνει ἐν ʽΙππεῦσι καὶ Θουκυδίδῃ ἐν δʹ.

ʽΡόπτρον: Λυσίας κατʼ ʼΑνδοκίδου ἀσεβείας "ἔδησε τὸν ἵππον "ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ." νῦν τὸν τῆς θύρας κρίκον λέγει, ὡς καὶ ἄλλοι, ʼΑριστοφάνης ʼΑμφιάρεῳ, Ξενοφῶν ʽΕλληνικῶν ϛʹ.

ʽΡυτά: συνεσταλμένως εἶδός ἐστι ποτηρίου· Δημοσθένης κατὰ Μειδίου. ἐκτεταμένως τὰ παρʼ ἡμῖν λεγόμενα ὁμοίως Κρατῖνος ἐν ʽΩραις.

Σ.

Σαβοί: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. οἱ μὲν Σαβοὺς λέγεσθαι τοὺς τελουμένους τῷ Σαβαζίῳ, τουτέστι τῷ Διονύσῳ, καθάπερ

3. ʽΡΟΔΩΝΙ'Α. ἡ τῶν ῥόδων φυτεία, (ὥσπερ addit Suidas) ἰωνία ἡ τῶν ἴων (Recto accentu ῥοδωνιά et ἰωνιά apud Suidam) :— Aliam gl. habet Phot. 6. ʽΡΟ'ΘΙΟΝ—στρατηγεῖν om. 7. καλεῖται περὶ (τὸ περὶ D.) τῶν ῥόθον τῶν ἐκ (in περὶ pro παρὰ consentiunt Photius Suidæque codex A.) τὸν ἐκ om. D. 8. ἐλαύνωσιν :— 11. λέγει :— 14. ἐκτεταμένως πάβην (παρʼ ἡμῖν Phot. παρήβην D. et sic vel παρʼ ἥβην Suidas) λεγόμενα :— 17. ΣΑ'ΒΟΙ—Σάβους (Σαβοί—Σαβοὺς Phot.)

1. ʽΡΟΔΟΓΟΥ'ΝΗ] Non memoratur in oratorum quæ supersunt scriptis.

3. Δημοσθένης] p. 1251, 26.

4. ὥσπερ ἡ ἐκ τῶν ἴων ἰωνιά C.

5. αʹ] αη C. πρώτῳ Ald.

6. Πολύευκτον] πολυεύκτου B.

8. σφοδρῶς] σφόδρα C.

9. ʽΙππεῦσι] v. 546.

— Θουκυδίδῃ Maussacus. Θουκυδίδης libri. Est 4, 10.

10. ʽΡΟ'ΠΤΡΟΝ] ῥόπτον B.C. et mox ῥόπτου.

— Λυσίας] p. 103, 16.

— κατʼ] ἐν τῷ κατʼ C.

12. ʼΑριστοφάνης] Fragm. 103.

— ϛʹ] Libri ῆ vel ὀγδόῳ. Correxit Maussacus. Est enim 6, 4, 36.

13. ἐστι om. B.C.

— Δημοσθένης] p. 565 extr.

14. τὰ additum ex C.

17. Δημοσθένης] p. 313, 27. ubi εὐοῖ σαβοῖ, de quo Harpocration s. v. εὐοῖ.

— ὑπὲρ] ἐν τῷ ὑπὲρ C.

— Σαβοὺς] σαβοὶ B.C.G.

18. Σαβαζίῳ—Σαβάζιον] σαβαξίῳ—σαβάξιον A.B.C.G. Recte scriptum in Ald. et Epitome.

τοὺς τῷ Βάκχῳ Βάκχους. τὸν αὐτὸν δὲ εἶναι Σαβάζιον καὶ Διόνυσόν φασιν ἄλλοι τε καὶ Νύμφις β′ περὶ Ἡρακλείας. οὕτω δέ φασι καὶ τοὺς Ἕλληνάς τινες τοὺς Βάκχους Σαβοὺς καλεῖν. Μνασέας δὲ ὁ Παταρεὺς υἱὸν εἶναί φησι τοῦ Διονύσου Σαβάζιον.

Σείρινα: Λυκοῦργος περὶ τῆς διοικήσεως. σείριον ἐκάλουν λεπτὸν ἱμάτιον ἀσπάθητον, οἷον θέριστρον, καθά φασιν οἱ γλωσσογράφοι. καὶ σειρὴν δὲ ὁ λεπτὸς καὶ διαφανὴς χιτὼν, εὔθετος τότε ὅτε ἐστὶν ὁ Σείριος. ἔστι δὲ καὶ Σεῖρις πόλις Ἰταλικὴ, καὶ τάχα τὰ ἔνθεν ὑφάσματα ἤ τινα ἄλλα σείρινα εἶπεν ὁ ῥήτωρ. ἐν ἐνίοις μέντοι χωρὶς τοῦ ε γράφεται σίρινα.

Σεμναὶ θεαί: οὕτω καλοῦσιν Ἀθηναῖοι τὰς Ἐρινύας.

Σέρρειον τεῖχος καὶ Σίριον: ὀνόματα χωρίων.

Σεσημασμένῳ: ἀντὶ τοῦ ἐσφραγισμένῳ Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος, Ὑπερείδης ἐν τῷ κατ᾽ Ἀντίου ὀρφανικῷ.

2. ἄλλοι—Ἡρακλείας om. οὕτως δέ φησιν καὶ τῶν Ἑλλήνων τινὲς 4. Παταρεὺς] Πατρεὺς φασι (φησι Phot. et Suidas) τοῦ Διονύσου Σαβάδιον (Σαβάζιον Suidas) :— 5. ΣΕ'ΡΙΝΑ (σειρῆνα Phot. σείρινον Suidas). σήριον (σηρίον D. σείριον Phot. σείρινον Suidas) ἐκάλουν 7. τότε] τε Phot. 8. Σεῖρις] Σειρὶς Phot. 9. ἤ τινα] εἴ τινα ἄλλα Λυκοῦργος εἶπεν ἐν τῷ περὶ τῆς διοικήσεως. ἐν ἐνίοις μὲν χωρὶς τοῦ ι γράφεται σέρινα (σερῆνα Phot.) :— 12. ΣΕ'ΡΡΕΙΟΝ] Diphthongo in duobus optimis Suidæ libris superscriptum ϊ ΣΙ'ΡΙΟΝ] Σίρειον (Σέρρειον Phot. et vulgo apud Suidam : sed duo optimi codices Σίρρειον). 14. ὀνόματος :—

1. τὸν αὐτὸν δὲ Epitome. τὸν δὲ αὐτὸν libri.

2. Νύμφις Mueller. Fragm. Hist. vol. 3. p. 14. ἀμφιέλεος C. ἀμφιελέος G. ἀμφιέλεως B. ἀμφίθεος A. Ald.

— β′] ἐν βῳ C.

— Ἡρακλείας] ἡρακλέους B.C.G.

3. τινες om. B.C.G.

— καλεῖν] καλεῖσθαι C.

— Μνασέας] μνασίας B.C.G.

4. παταρεὺς A. Ald., ceteri πατρεὺς cum Epitome vitiose, ut videtur: vid. Mehler. ad Mnaseæ Fragm. p. 9.

— Σαβάζιον] σαβάδιον A. B. G. cum Epitome. τὸν σαβάδιον C.

5. σείριον Sauppius Fragm. p. 263. σειρῆνας σειρίον A.B.C.G. Ald.

8. Σεῖρις πόλις] πόλις σεῖρις N. Σῖρις hæc urbs est apud Steph. Byz.

— Ἰταλικὴ] ἀττικὴ B.C.G.

— τὰ ἔνθεν] τἀκεῖθεν C.

9. ἤ] εἴ B.C.G.

— ἐν om. B.G.

10. χωρὶς τοῦ ε—σίρινα A.B.C.G. Recte fortasse Epitome et Ald. χωρὶς τοῦ ι— σέρινα.

— σίρινα] σείρινα C.

11. Ἐρινύας] ἐριννύας Ald.

12. ΣΕ'ΡΡΕΙΟΝ] Apud Demosth. p. 114, 16. 133, 15.

— ΣΙ'ΡΙΟΝ] De hoc nihil constat. σίρριον A. Ald. σείριον C. Epitome Σίρειον. Σέρρειον promontorium et Σέρρειον τεῖχος, quod etiam Σέρρα dictum fuerit, memorat Steph. Byz.

— ὀνόματα χωρίων] ὄνομα χωρίου C.G.

13. ΣΕΣΗΜΑΣΜΕ'ΝΗΝ ἀντὶ τοῦ ἐσφραγισμένην N.

— Δημοσθένης] p. 999, 16. ubi σεσημασμένων.

Σεύθης: Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου. ἔστι δὲ εἷς τῶν ἐν Θρᾴκῃ βασιλέων.

Σηκός: ἐπιγράφεταί τις λόγος Λυσίου ἐν τῇ τῆς εὐσεβείας περὶ τοῦ σηκοῦ ἀπολογίᾳ, ἐν ᾧ δῆλόν ἐστιν ὡς περὶ ἐλαίας ἐκκοπείσης ὁ λόγος ἐστί. γράφει δὲ καὶ ταυτὶ ὁ ῥήτωρ "ὃς δύο ἔτη ἐγεώργησεν "οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε σηκὸν παραλαβών." μήποτε οὖν τὰς μὲν ἰδιωτικὰς ἐλαίας καλοῦσι, τὰς δὲ δημοσίας μορίας· σηκὸν δέ, ὡς ἔοικε, καὶ μορίαν ὀνομάζουσι τὴν αὐτήν.

Σηράγγιον: Λυσίας ἐν τῷ κατ' Ἀνδροτίωνος. χωρίον τι τοῦ Πειραιῶς οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Γεωργοῖς.

Σημεῖα: οὕτω λέγουσι τὰς σφραγῖδας. Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

Σθένελος: Λυσίας ἐν τῷ πρὸς Διογένην. καὶ ἐν ταῖς Διδασκαλίαις εὑρίσκεται ὁ Σθένελος τραγῳδίας ποιητής. ἐκωμῴδει δὲ αὐτὸν ὁ τοὺς Πλάτωνος Λάκωνας γράψας ὡς τἀλλότρια ἔπη σφετεριζόμενον.

Σίγειον: Δημοσθένης Φιλιππικοῖς. πόλις ἐστὶ τῆς Τρῳάδος, οὐκ ἄποθεν τοῦ Ἰλίου.

Σῖμος: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. εἷς τῶν Ἀλευαδῶν οὗτός ἐστι τῶν δοκούντων συμπρᾶξαι τῷ Μακεδόνι.

1. ΣΕΥ'ΘΗΣ] Σέφθης Phot. Λυσίας—δὲ om. 3. ΣΗΚΟ'Σ. τάττουσι τὸ ὄνομα καὶ ἐπὶ ἐλαίας. λέγει γὰρ Λυσίας, ὃς δύο ἔτη ἐγεώργησεν—σηκόν. μήποτε οὖν τὰς μὴ ἰδιωτικὰς ἐλαίας καλοῦσι (καλοῦσιν ἐλαίας Phot.), τὰς δὲ 9. ΣΗΡΑ'ΓΓΙΟΝ. χωρίον (χώρα Suidæ codex A.) τι (τι om. Suidas) τοῦ Πειραιῶς (πειραίως E.T.) :— 12. Δημοσθένης καὶ ἄλλοι :— 14. Λυσίας —ὁ Σθένελος om. 15. ἐκωμῳδεῖτο δὲ ὡς τὰ ἀλλότρια σφετεριζόμενος :— Totam gl. om. Suidas. 17. ΣΙ'ΓΕΙΟΝ] Σίγιον (Σίγειον Phot.) Δ. Φιλιππικοῖς om. 18. ἄποθεν] ἄπωθεν (ἄποθεν Phot.) τοῦ] τῆς 19. ΣΙ'ΜΟΣ (Σιμός Phot. et Suidas). Δ. ὑπὲρ Κτησιφῶντος. εἷς τῶν Ἀλευάδων (Ἀλευαδῶν Suidas) οὗτός ἐστιν—Μακεδόνι :—

1. εἷς ex Epitome pro τις.
3. ἐν τῇ] ἐν τοῖς A.B.
— εὐσεβείας] ἀσεβείας Valesius.
5. ὃς (ὡς A.) δύο ἔτη om. C.
— ἐγεώργησαν ante ἔτη B., post ἰδίαν C.
9. ΣΗΡΑ'ΓΓΙΟΝ] Vide Hesychii interpretes vol. 2. p. 1175. et Schœmann. ad Isæum p. 339.
— Λυσίας—Ἀνδροτίωνος om. B.C.G.
10. Πειραιῶς] πειραιέως A. Ald.
— καὶ om. B.C.G.
— Ἀριστοφάνης] Fragm. 173.
12. Δημοσθένης] p. 1039. 11.
15. ὁ Σθένελος] δὲ C.
16. Πλάτωνος] πλάτωνας B.C.G., omisso Λάκωνας.
— ἔπη σφετεριζόμενον Dobræus. ἐπισφετεριζόμενος (–ον C.) libri.
17. Δημοσθένης] p. 26, 15.
18. ἄποθεν] ἄπωθεν Ald.
19. ΣΙ'ΜΟΣ] Scribebatur Σιμός

Σιμύλος: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντός φησιν "ἀλλὰ "μισθώσας ἑαυτὸν τοῖς βαρυστόνοις ὑποκριταῖς Σιμύλῳ καὶ Σω-"κράτει."

Σίμων: ὄνομα κύριον.

Σινώπη: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. Ἡρόδικος ἐν ϛʹ Κωμῳδουμένων φησὶν ὅτι Σινώπη ἡ ἑταίρα Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι.

Σιπύα: Λυσίας ἐν τῷ περὶ ἡμικληρίου τῶν Μακαρτάτου χρημάτων. σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα, ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς· Εὔπολις Χρυσῷ γένει, Ἀριστοφάνης Τελμησεῦσιν.

Σιτηρέσιον: τὸ διδόμενόν τισιν εἰς τροφήν· Δημοσθένης ἐν τῷ περὶ τριηραρχήματος.

1. ΣΙΜΥ'ΛΟΣ] Σίμυλος (sic etiam ap. Photium; Σιμύλος ὄνομα κύριον apud Suidam) 4. Hanc gl. om. Suidas. 5.—7. ΣΙΝΩ'ΠΗ. ἑταίρα ἥτις καὶ Ἄβυδος—εἶναι:— 8.—11. ΣΙΠΥ'Α. σιτηρὸν ἀγγεῖον, ὡς Λυσίας τε καὶ Εὔπολις καὶ Ἀριστοφάνης:— Glossam om. Suidas, alia substituta. 12. τροφήν:—

(σιμάς C.G.). Correxi ex Epitome, in qua Σίμος, et Demosthene p. 241, 27. cujus libri alii Σῖμος, alii Σίμος.

1. Δημοσθένης] p. 314, 11.

— ἐν τῷ et φησιν om. C.

2. τοῖς om. C.G.

— βαρυστόνοις Ald. βαρυτόνοις A. βαρυστόνου B. βαρυτάτοις C.G.

4. ΣΙ'ΜΩΝ] Hanc gl., qua carent C. G., hoc loco habet Epitome. Legebatur ante Σιμύλος. Simones quidam memorantur ab Lysia, Isæo et Demosthene.

5. Δημοσθένης ὑπὲρ (ἐν τῷ ὑπὲρ C.) Κτησιφῶντος] Immo κατ' Ἀνδροτίωνος p. 610, 17. cui adde κατὰ Νεαίρας p. 1385, 1.

— Ἡρόδικος (ἡρόδοτος B.C.G.) ἐν γʹ κωμῳδουμένων quæ verba om. A. et Ald., accesserunt ex B.C.G.O.

— ϛʹ] Legebatur γʹ. Athenæus 13. p. 586. a., cui Harpocratio hæc, ut alia plura de meretricibus, debet, περὶ μὲν τῆς Σινώπης Ἡρόδικος ὁ Κρατήτειος ἐν ϛʹ Κωμῳδουμένων φησὶν ὅτι Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι. Qui quum librum sextum iterum citet p. 591. c., ubi de Phryne agit, non dubitavi hunc numerum Harpocrationi quoque restituere.

5. Κωμῳδουμένων] περὶ τῶν (τῶν om. B.) κωμῳδουμένων B.C.G.

6. Ἄβυδος] ἄβυλος B. ἄβηλος C.G.

— γραῦς εἶναι] Post hæc verba Aldus hæc intulit ex Suida s. v. Σινώπη, καὶ παροιμία σινωπῆσαι. τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην· ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι, καθάπερ Ἄλεξις ἔφη. καὶ σινωπήτης.

9. σιπύα] Veteribus Atticis σιπύη.

10. Εὔπολις] καὶ εὔπολις B.

— Χρυσῷ γένει] χρυσογένει libri. Correxit Hemsterh. ad Polluc. 10, 63.

— Ἀριστοφάνης] Fragm. 455.

— Τελμησεῦσιν] Scribebatur Τελμισεῦσιν.

12. ΣΙΤΗΡΕ'ΣΙΟΝ—] Hanc gl. om. B.C.G.

— Δημοσθένης] p. 1209, 12. 1214, 21.

Σῖτος: Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου α'. σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος α' ἄξονος καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων πολιτείας. Τιμαχίδας δὲ ἡγεῖται παρὰ τοῖς Ἀττικοῖς σῖτον λέγεσθαι τὸν τόκον, ἀγνοεῖ δὲ ὅτι ἐν ἀνθ' ἑνὸς οὐδέποτε παρ' αὐτοῖς ὁ τόκος σῖτος καλεῖται.

Σιτοφύλακες: Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ι', ε' μὲν ἐν ἄστει, ε' δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

1. ΣΙΤΟΣ. καλεῖται σῖτος καὶ ἡ διδομένη—ὡς ἔστιν μαθεῖν καὶ ἐκ (κἀκ Phot.) τῶν τοῦ Σόλωνος πρώτου (πρώην Suidas) ἄξονος 5. τὸν τόκον, οὐκ ὀρθῶς ἡγούμενος :— 7. Δ.—εἰσαγγελίᾳ om. 9. ἀριθμὸν ιε μὲν ἐν ἄστει, ε δ' ἐν Πειραιεῖ :— Cum Epitome plane consentit Suidas: apud Photium vero ultima verba absurdum in modum sunt interpolata, ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν πεντεκαίδεκα ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ· ὕστερον δὲ λ' μὲν ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ.

1. Δημοσθένης] p. 818, 5.
— ἐν τῷ om. A.B.G.

3. Post ἄλλων fortasse excidit τε.

— καὶ ἐκ τοῦ Σόλωνος α' ἄξονος (ἄξονον A.B.)] καὶ ἐν τῷ ἐκ τοῦ σόλωνος πρώτου κατὰ τοῦ ἄξονος Ald. vocabulis ἐν τῷ et κατὰ per errorem ex superioribus ἐν τῷ κατ' Ἀφόβου α' repetitis.

7. κατὰ addidit Sauppius Fragm. p. 334.

— εἰσαγγελίᾳ] ἀγγελία C.G., ut libri omnes s. v. λουτροφόρος.

8. δικαίως] δια B.C.G. Voluerunt igitur διαπραθήσεται.

9. τὸν ἀριθμὸν ι', ε' μὲν ἐν ἄστει Vœmelius loco s. v. μετρονόμοι citato. Libri τὸν ἀριθμὸν ιε μὲν ἐν ἄστει: unde literis ι' et ε', quas disjungi oportebat, pro numero ιε' acceptis πεντεκαίδεκα scriptum est in Ald. et apud Photium. Quo pacto quum σιτοφυλάκων aut universorum aut urbicorum numerus deesset, Valesius errorem errore auxit, quum scriberet τὸν ἀριθμὸν ιε', ι' μὲν ἐν ἄστει etc. De quo non repetam quæ dixi s. v. μετρονόμοι. Extrema Photii glossæ verba, quæ post Epitomes scripturam apposui, in quibus de triginta posterioris nescio cujus ætatis σιτοφύλαξιν somniatur, Boeckhius Œc. vol. I. p. 118. ad saniorem rationem revocare studuit, qui adscita Valesii quam modo notabam opinione sic illa scribit, ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν τρεῖς, ὕστερον δὲ πεντεκαίδεκα, δέκα μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ. licet nec numerum σιτοφυλάκων variasse aliunde constet et, quod gravius est, constans Photii in glossis ex Harpocratione excerptis cum Epitome Suidaque consensus valde suspectum reddat illud additamentum. Aliud verborum sive ab interpolatore sive a Photio ipso adjectorum exemplum est s. v. τεταρτημόριον, ubi Harpocrationis explicationi τὸ δ' μέρος τοῦ ὀβολοῦ, τουτέστι χαλκοῖ δύο, hæc adjecta est prope puerilis annotatio, quæ neque in Epitome neque apud Suidam legitur, καὶ γὰρ ὁ μὲν ὀβολὸς ὀκτὼ χαλκοῦς ἔχει, τὸ δὲ δ' αὐτοῦ δῆλον ὅτι δύο χαλκοῖ εἰσιν.

Σκαμβωνίδαι: *Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.*

Σκαφηφόροι: *Δείναρχος ἐν τῷ κατὰ Ἀγασικλέους φησὶν "οἱ "ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν "ἔχοντες χάριν τῆς πολιτείας, ἀλλὰ τῷ τούτου ἀργυρίῳ," ἀντὶ τοῦ μέτοικοι· οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν γʹ Νομοθεσίας φησὶν ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδια. διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν ιʹ Νόμων.*

Σκαφίον: *Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς καὶ Ἀριστοφάνης Γήρᾳ.*

Σκευοποιοῦντα τὸ πρᾶγμα: *Ὑπερείδης ἐν τῷ κατὰ Μαντιθέου ἀντὶ τοῦ σκευωρούμενον καὶ κατασκευάζοντα καὶ πλαττόμενον.*

Σκηνίτης: *Ἰσοκράτης Τραπεζιτικῷ "Πυθόδωρον γὰρ τὸν σκη-"νίτην καλούμενον." ἔοικεν ἐπώνυμον εἶναι. μήποτε δὲ ὡς ἀγοραῖον καλούμενον, ἐπειδὴ ἐν σκηναῖς ἐπιπράσκετο πολλὰ τῶν ὠνίων.*

Σκηνὴν δὲ ἣν ἔχουσιν, οὐδὲ γὰρ ταύτην λαβόντες ἀναφέρουσι: *Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν. ἔοικε δὲ σκεῦός*

1. ΣΚΑΜΜΩΝΙ'ΔΑΙ. *δῆμος τῆς Λεοντίδος*:— 3. *Ἀγησικλέους—οὐχ ὑμῖν* (*ἡμῖν* D.) 5. *τούτου* om. *ἀντὶ τοῦ μέτοικοι* om. 6. *γοῦν*] *οὖν* (*γοῦν* Phot. et Suidas) 8. *ὑδρεῖα* (*ὑδρία* Phot. a pr. m.) *καὶ σκιάδια* (*σκιάδεια* Photii codex a m. antiqua correctus et deteriores libri Suidæ):— 10. ΣΚΑΦΙ'ΟΝ (*σκάφιον* Phot.). *ἔστιν καὶ εἶδος κουρᾶς, ὡς Ἀντιφῶν καὶ Ἀριστοφάνης*:— Totam gl. om. Suidas. 12. *Ὑπερείδης*] *Ὑπερίδης*, ut alibi constanter, de quo hoc loco moneo, quia Photii codex hic *ὑπερείδης*. *Μαντιθέου*] *Ἀντιθέου* (*Ἀντιθέτου* Suidas) 15. *ἔοικεν*] *ἔοικεν δὲ* *ὡς*] *ὡς εἰς* 16. *καλούμενον*] *λεγόμενον*

1. *ἐν τῇ διαδικασίᾳ* (ut alibi apud Harpocrat.) C. Aberat *τῇ*. Scambonidæ cur in oratione Lycurgi memorati fuerint ex Pausania 1, 38, 2. intelligitur, quem citat Saupp. Fragm. p. 267.
3. *κατὰ* om. C.G.
4. *ὑμῖν*] *ἡμῖν* B.C.G.
5. *τούτου* et *ἀντὶ τοῦ μέτοικοι* om. Ald. et Epitome.
7. *νόμος*] *δῆμος* C.
8. *ὑδρεῖα*] *ὑδρίας* B.
9. *σκιάδια*] *σκιάδεια* A.B. Ald.
— *ἐν ιʹ*] *ἐν ιη* C. *ἐνὶ* B. *ἐν τῷ δεκάτῳ* Ald.
9. *Νόμων*] *τῶν νόμων* A.B. Ald.
10. *τὴν Δημοσθένους*] *διογένους* B. C.G.
11. *ὅτι δὲ*] *ὧν* B.G., om. C.
— *Ἀριστοφάνης*] Fragm. 195.
12. ΣΚΕΥΟΠΟΙΟΥ͂ΝΤΑ] *σκευοφοροῦντα* B.
— *τὸ πρᾶγμα* om. B.C.G.
14. *Ἰσοκράτης*] p. 365 c.
15. *ὡς* A.B.C.G. *ὡς εἰς* Ald.
16. *ἀναφέρουσι*] *φέρουσι* C., om. A.B.G.
18. *Δημοσθένης*] p. 1031, 10.

τι εἶναι, ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναί φασιν, οἱ δὲ σκιάδιον.

Σκῆψις: Δημοσθένης κατ' Ἀριστοκράτους. πόλις ἐστὶν ἐν Τροίᾳ, ἧς μνημονεύουσιν ἄλλοι τε καὶ Ἔφορος ἐν ιε΄.

Σκίαθος: Δημοσθένης Φιλιππικοῖς. νῆσός ἐστι πλησίον Εὐβοίας.

Σκιάποδες: Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶ Λιβυκόν. Κτησίας ἐν περίπλῳ Ἀσίας φησὶν "ὑπὲρ δὲ τούτων Σκιάποδες, οἳ "τούς τε πόδας οἵους οἱ χῆνες ἔχουσι κάρτα πλατέας, καὶ ὅταν "θέρμη ᾖ, ὕπτιοι ἀναπεσόντες, ἄραντες τὰ σκέλη σκιάζονται τοῖς "ποσίν."

